Scholia and Glosses on Oppian's Halieutica: Book 1 by Scholia on Oppian

1 *ΣΧΟΛΙΑ ΕΙΣ ΤΟΥ ΟΠΠΙΑΝΟΥ ΤΑ ΑΛΙΕΥΤΙΚΑ.*

1 Ἐνθάδε πάντων ἰχθύων πάντα γένη,
Ὁ γράψας οὗτος καὶ συναθροίσας τοῖς νέοις
Μόχθον δ' ἔδωκε καὶ κόπον τοῦ μανθάνειν.
ΠΕΡΙΟΧΗ ΑΛΙΕΥΤΙΚΩΝ.

Διαλαμβάνει ἐν μὲν τῷ πρώτῳ τῶν ἁλιευτικῶν μετὰ τὸ προοίμιον περὶ συγκρίσεως κυνηγετῶν καὶ ἰξευτῶν πρὸς ἁλιέας, περὶ τῶν ἰχθύων, ποῖοι καὶ ποῦ νέμονται, γενικῶς, εἰδικῶς δὲ περὶ σκάρου, πομπίλου, ἐχενηΐδος, ἀστάκου, καρκινάδων, ναυτίλου, κητῶν καὶ δελφίνων, περὶ φιλότητος καὶ γάμων τῶν ἰχθύων, περὶ τῆς κινήσεως εἰς Εὔξεινον πόντον, περὶ τῆς ἐνταῦθα παιδοποιίας καὶ ὠοτοκίας καὶ παιδεύσεως τῶν γεννωμένων.

Ἐν τῷ δευτέρῳ δὲ μετὰ τὸ προοίμιον περὶ νάρκης, βατράχου, σηπίας, καρίδων καὶ λάβρακος, περὶ βοὸς, καρκίνου, πίννης, ἡμεροκοίτου, ἐχίνων, πολυπόδων, καὶ καράβου, καὶ μυραίνης, περὶ σκολοπένδρας, ἰουλίδων, κωβιοῦ, τρυγόνος, καὶ ξιφίου, καὶ θύννου, περὶ δελφίνων καὶ ἀμιῶν, περὶ κεστρέως καὶ σκάρου.

Ἐν τῷ τρίτῳ δὲ, ὅτι παρ' Ἑρμοῦ τὴν ἄγραν ἐδιδάχθη, καὶ ὁποῖον δεῖ ἁλιέα εἶναι, καὶ ποῖος ὁ καιρὸς τῆς θήρας, περὶ δικτύων, καὶ πανουργίας ἰχθύων, περὶ κεστρέως, σφυραίνης, λάβρακος, μορμύλου, ὀρκύνων, ἀμιῶν, νάρκης, σηπιῶν, τευθίδων, ἀνθιέων, καλλίχθυος, κανθάρου, σπάρου, ἀδμώων, τρισσῶν, σαλπῶν, τρίγλης, μελανούρων, ξιφίου, σκόμβρου, ῥαφίδων, θύννων, καὶ συνοδόντων.

Ἐν τῷ τετάρτῳ δὲ περὶ τῶν ὑπ' ἔρωτος ἁλισκομένων, σκάρου, κεφάλων, σηπιῶν, κοσσύφων, κιχλῶν, γαλεῶν, πολυπόδων, σαργῶν, ἱππούρων, πομπίλων, τευθίδων, ἐγχελύων, ἐγγραυλῶν, πηλαμύδων, καὶ σκιαίνης.

Ἐν τῷ πέμπτῳ δὲ περὶ συγκρίσεως χερσαίων καὶ θαλασσίων θηρίων, περὶ κητῶν ἄγρας καὶ ἡγήτορος αὐτῶν, περὶ λάμνης, φώκης, ἐγχέλυος,

δελφῖνος, ὀστρακοδέρμων, πορφυρῶν καὶ σπογγῶν.

ΣΤΙΧΟΙ ΤΟΥ ΤΖΕΤΖΟΥ.

Χρησάμενος, παῖ, τῷ λογικῷ δικτύῳ,
Ἐξ Ὀππιανοῦ τοῦ βυθοῦ τῶν χαρίτων
Ἄγραν λόγων πάγκαλον ἀνείλκυσά σοι.
Ἐγὼ γὰρ, ἵνα μὴ πάθῃς ἀηδίαν,
Λαμπρὰν κατεσκεύασα τὴν πανδαισίαν.
Ἐκ νουθετημάτων γὰρ ὡς ἀρτυμάτων
Ἄνωθεν αὐτὴν κατὰ πάντων σοὶ φέρω.

Διὰ τί οἱ ἰχθύες κατὰ κεφαλῆς ποιοῦνται τὴν κίνησιν; Ἰστέον ὅτι τοῖς ἰχθύσι τὸ ὀξὺ τῆς καρδίας πρὸς τῇ κεφαλῇ εἶσιν· διὸ καὶ κατὰ τῆς κεφαλῆς ποιοῦνται τὴν κίνησιν, τοῖς δὲ τετράποσι ζώοις πρὸς τῷ στήθει· διὸ καὶ κατὰ στῆθος πορεύονται, ἡμῖν δὲ πρὸς τοῖς δεξιοῖς μέρεσι, δι' ὅ τι, ὅπερ εἶπον, τῷ δεξιῷ καὶ τῷ ἀριστερῷ κινουμένων τῶν χειρῶν καὶ τῶν ποδῶν, κινούμεθα καὶ ἡμεῖς, ὥστε καὶ οἱ ἰχθύες τῇ δεξιᾷ καὶ ἀριστερᾷ πτέρυγι κινοῦνται· ὥσπερ οὖν εἴ τις κόψειε κῶλόν τινος, οὐκ ἂν ὁ κολοβωθεὶς τὸ μέρος ἐκεῖνο τοῦ σώματος κινηθῇ, οὕτω καὶ, εἴ τις τὰς πτέρυγας τῶν ἰχθύων ἀφέλοιτο, ἀκινήτους τούτους ἐργάσαιτο.

Τέτταρά εἰσι τὰ χαρακτηρίζοντα τὸν κυρίως ποιητήν· μέτρον ἡρωικὸν, μῦθος ἀλληγορικὸς, ἱστορία παλαιὰ, καὶ ποιὰ λέξις· ποιηταὶ μὲν κυρίως κατ' ἐξοχήν εἰσι πέντε· Ὅμηρος ὁ πολὺς, Ἡσίοδος, Ἀντίμαχος, Πείσανδρος καὶ Πανύασις· πολλοὶ μέν εἰσι ποιηταί· οἱ μὲν γὰρ τραγικοὶ, οἱ δὲ κωμικοὶ, οἱ δὲ λυρικοὶ, οἱ δὲ διθυραμβικοὶ, οἱ δὲ σατυρικοὶ, οἱ δὲ μονῳδοὶ, οἱ δ' ἐποποιοὶ, ὡς ὁ Ὀππιανός.

1 *ΕΙΣ ΤΟ Α.*

1.1 Ἔθνεά τοι· ἰωνικὸν καὶ δωρικόν. πλήθη· ἔθνη. ἔθνεα· τὸ πλῆθος καὶ αἱ κατὰ γένος ἰδιάζουσαι τῶν ἀνθρώπων διαφοραὶ, καὶ ἐπὶ μὲν τοῦ πλήθους ἠΰτε ἔθνεά εἰσι μελισσάων.
ἐπὶ δὲ γένους
μυρία ἔθνεα
Διὰ τί εἶπεν ἔθνεα, καὶ οὐκ εἶπε πλήθη ἢ φῦλα; διὰ τὸ γινώσκειν, τὰ

θαλάσσια ζῶα ἄλληλα ἐσθίοντα δίκην ἐθνῶν. Ἔθνεα τοὺς ἰχθύας εἶπεν διὰ τὸ, ὥσπερ τὰ ἔθνη, ἄλλοσε καὶ ἄλλοσε κατοικεῖν, οἱ μὲν ἐν αἰγιαλοῖς, οἱ δ' ἐν Πόντῳ, καὶ ἄλλοι ἐν Προπόντιδι, καὶ ἁπλῶς οἳ καθ' ἕκαστον ἴδιον τόπον πρὸς οἴκησιν ἔχουσιν. Ἔθνη εἶπε, καὶ οὐ πλήθη ἢ φῦλα διὰ τὸ γινώσκειν τὰ θαλάσσια ζῶα ἄλληλα ἐσθίοντα δίκην ἐθνῶν, ἢ διὰ τὸ ἄλλοσε καὶ ἄλλοσε κατοικοῦντα, ὥσπερ καὶ τὰ ἔθνη. ἔθνος δ' ἐτυμολογεῖται ἀπὸ τοῦ ἔθος νέον εἶναι. Ἔθνος ἡ ἰδιάζουσα διαφορά. ἔθνος· τὰ πλήθη ἅτινα ἔχουσι διαφορὰν πρὸς ἄλληλα.

1.1bis Πόντοιο· πόντου δωρικῶς, ἰωνικῶς. Πόντος παρὰ τὸ πένω, τὸ ἐνεργῶ, ἀφ' οὗ καὶ πόνος καὶ πόντος, καθ' ὃν πεπόνηται περὶ τὸν πλοῦτον τὸ τῶν ἀνθρώπων γένος· ἢ ἀπὸ τοῦ πνέω πνότος, καὶ μεταθέσει τοῦ ν πόντος, ὁ τοῖς ἀνέμοις καταπνεόμενος τόπος. πόντος παρὰ τὸ πένω τὸ ἐνεργῶ πόνος καὶ πόντος, ἐν ᾧ πονεῖ τις διὰ πλοῦτον, ἢ ἀπὸ τοῦ πνέω κατὰ μετάθεσιν.

1.1ter Πολυσπερέας· εἰς πολλοὺς τόπους διεσπαρμένας, ἐπὶ πολλὰ μέρη διεσπαρμένας, καὶ τὰς διεσπαρμένας, τὰς ἐν διαφόροις τόποις ἐσπαρμένας.

1.1quat Φάλαγγας· Φάλαγξ ἡ περιεκτικὴ ρκ′, λεγεὼν ἑξακισχιλίους. Φάλαγγες κυρίως ἐπὶ τῶν ὁπλιτῶν, οἱονεὶ πέλαγγές τινες οὖσαι, παρὰ τὸ πέλας ὅ ἐστι ἐγγὺς ἀλλήλων ἵστασθαι, ἢ ἀπὸ τοῦ πάλλω τὸ κινῶ καὶ τοῦ ἐγγὺς, οἱ συντριβόμενοι ἀλλήλοις. φάλαγγες λέγεται καὶ τὰ τῶν δακτύλων ἄρθρα, ἔνιοι δέ φασι καὶ στρογγύλα τινὰ ξύλα, καὶ τῆς νεὼς ἡ διαβάθρα, καὶ ὁ ἀράχνης, ὃ φαλάγγιον λέγουσι. φάλαγξ τὸ ἐκ πλειόνων λέξεων ὁπλιτινὸν πλῆθος. φάλαγξ καὶ τὰ τῶν δακτύλων ἄρθρα, εἰσὶ δὲ καὶ στρογγύλα ξύλα φάλαγγες καὶ ἡ τῆς νεὼς διαβάθρα. καὶ οἱ κόρακες παρ' Ἀττικοῖς φαλάγγια λέγονται. φάλαγγας· τάξεις.

1.2 Νεπόδων· ἰχθύων, ἐστερημένα ποδῶν.

1.2bis Πλωτόν· πλεόμενον· ὥσπερ ἀπὸ τοῦ λέγω λόγος, οὕτω καὶ ἀπὸ τοῦ πλέω πλόος πλοΐζω καὶ ἐκτάσει ἀττικῇ τοῦ ο εἰς ω μέγα πλωΐζω καὶ ἐξ αὐτοῦ πλωτόν.

1.2ter Ἀμφιτρίτης· θαλάσσης. Ἀμφιτρίτη κατ᾽ ἐτυμολογίαν ἡ θάλασσα, καὶ γράφεται ἰῶτα, καὶ ὤφειλε γράφεσθαι διὰ διφθόγγου ὡς ἀπὸ τῆς ἐτυμολογίας· ἢ γὰρ παρὰ τὸ ὀρεῖν, ὅ ἐστι παραρρεόμενον, ἢ παρὰ τὸ τρεῖν, τουτέστι φόβον ἐμποιεῖν ἀμφοτέρωθεν· καὶ πῶς οὐ γράφεται διὰ διφθόγγου, ἀλλὰ γράφεται διὰ τοῦ ι; τὰ γὰρ εἰς τη λήγοντα θετικὰ βαρύτονα ὑπὲρ μίαν συλλαβὴν ἐνὶ φωνήεντι θέλουσι παραλήγεσθαι, οἷον μελέτη, Ἀμφιτρίτη καὶ Ἀφροδίτη, καθιστόρησαν δὲ παρὰ τὸ συγκοιμηθῆναι τὸν Ποσειδῶνά τινι Νηρηΐδι οὕτω καλουμένῃ Ἀμφιτρίτῃ.

1.3 Ἐξερέω· λέξω, εἴπω. ὕπατον κράτος· περίφρασις. ὕπατον· ἔξοχον· ἀπὸ τοῦ ὑπέρτατος γίνεται ὕπατος.

1.4 Κυματόεσσαν χύσιν· ἀντὶ τοῦ τὴν θάλασσαν. ἔχει· οἰκεῖ, κατοικεῖ, κατοικοῦσιν. χύσιν· ῥεῦσιν. ᾗχι· ὅπου· ἰστέον ὅτι ᾗχι τὸ γινόμενον ἐπεκτάσει τῆς χι συλλαβῆς· ὡς τοίνυν ᾗχι, οἱ Δωριεῖς ᾇχι λέγουσι διὰ τοῦ ἀ.

1.5 Ἐννέμεται· βόσκεται, τρέφεται, βόσκονται. διερούς· διύγρους. διεροὶ ἀπὸ τοῦ διαίνω τὸ βρέχω, ὡς μιαίνω μιαρός καὶ τροπῇ τοῦ α εἰς ε διερός. γαμούς· γάμος παρὰ τὸ δαμῶ τὸ δαμάζω δάμος καὶ γάμος, ὁ δαμαστικὸς τῶν θηλειῶν, ὅθεν καὶ Ὅμηρος τὰς παρθένους ἀδαμάστους καλεῖ. γενέθλας· γενέσεις.

1.6 Βίον· διαγωγὴν, ζωήν. βίον ἰχθυόεντα· ἤγουν τὴν ζωὴν τῶν ἰχθύων. ἰχθυόεντα· τῶν ἰχθύων. ἔχθεα· μίση, τὰς ἔχθρας. Μῖσος τὸ μῖ ι δηλονότι ἀπὸ τοῦ μισῶ, μῦσος δὲ τὸ ἁμάρτημα ἀπὸ τοῦ μύω τὸ καμμύω· καὶ γὰρ ὁ ἰδὼν ἁμάρτημα αἰσχρὸν μύει. φιλότητας· φιλίας, ἀγάπας.

1.7 Βουλάς· μηχανάς. ἁλίης· ἁλίας, ἁλιευτικῆς. πολύτροπα· πολυμήχανα· πολύτροπα τὰ ἐπὶ πολὺ τρέπειν δυνάμενα τὴν διάνοιαν, ἢ τὰ ἐπὶ πολὺ τέρπειν δυνάμενα. δήνεα τὰ βουλεύματα, μήδεά τινα ὄντα καὶ τροπῇ τοῦ μ εἰς δ καὶ ἐν ὑπερθέσει τοῦ ν δήνεα· θεσσαλικὸν, ὡς Ἀπολλώνιος.

1.8 Κερδαλέης· πανούργου· ἀπὸ τοῦ κερδὼ ἡ ἀλώπηξ, ἢ ἐπικερδοῦς παρὰ τὸ κέρδος. ἐπ᾽ ἰχθύσι· κατ᾽ ἰχθύων. μητίσαντο· ἐβουλεύσαντο, παρὰ τὸ μητίω· μῆτις ἡ βουλὴ καὶ ἐξ αὐτοῦ μητίω, ὡς κόνις κονίω.

1.9 Ἀφράστοις· ἀδήλοις, πολλοῖς καὶ μὴ νοηθῆναι δυναμένοις, ἀπερινοήτοις, ἀρρήτοις. ἀΐδηλον· ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ἴδω τὸ βλέπω, ἀείδελον δ’ ἀπὸ τοῦ α καὶ τοῦ εἴδω τὸ γινώσκω. ἀΐδηλον· τὸ μὴ φαινόμενον. ἐπιπλώουσι· πλέουσι. θάλασσα παρὰ τὸ σάλον ἐμποιεῖν, ἢ παρὰ τὸ θᾶσσον εἶναι θανάτου θάνασσα καὶ θάλασσα.

1.10 Τολμηρῇ κραδίῃ· ὑπερβατὸν κατὰ λέξιν. τολμηρᾷ κραδίᾳ· ἐν. ἔδρακον· μετάθεσις· ἐνόησαν, εἶδον, ἰωνικῶς, οἱ ἄνθρωποι. οὐκ ἐπίοπτα· οὐ φανερὰ, ἀθέατα, ἄθεα.

1.11 Βένθεα· βάθη τῆς θαλάττης, βάθη, ἰωνικόν· ὥσπερ ἀπὸ τοῦ πάθος πένθος, οὕτω καὶ ἀπὸ τοῦ βάθος βένθος. τέχνῃσι· μηχαναῖς, διὰ τῶν τεχνῶν. διὰ μέτρα δάσαντο· ὑπερβατόν. δάσαντο· ἔμαθον, ἐμέρισαν.

1.12 Δαιμόνιοι· εὐδαίμονες· εἰ μὲν οὐδὲν στίξεις τὸ δάσαντο, ἐστὶ τὸ δαιμόνιοι ἀντὶ τοῦ εὐδαίμονες· εἰ δὲ στίξεις, ἐστὶν ἀντὶ τοῦ δυστυχεῖς, καὶ λαμβάνεται ἐκτὸς τὸ εἰσίν. δαιμόνιοι· ἐμπειρότατοι, δυστυχεῖς· δαιμόνιοι μέση λέξις, ποτὲ μὲν ἐπὶ κακοῦ λαμβανομένη, ποτὲ δ’ ἐπὶ ἀγαθοῦ. Αἱ πᾶσαι ἄγραι τρεῖς εἰσιν, ἡ μὲν ἀγρεύουσα τὰ ἔνυδρα, ἡ δὲ τὰ ἀέρια, ἡ δὲ τὰ ἐπίγεια, καὶ ἡ μὲν τὰ ἔνυγρα θηρεύουσα καλεῖται ἁλιευτικὴ, ἡ δὲ τὰ ἀέρια ἰξευτικὴ, ἡ δὲ τὰ ἐπίγεια κυνηγετικὴ· ἐν μὲν οὖν τῷ προοιμίῳ τοῦ ποιήματος παραβάλλει τὴν ἁλιευτικὴν τέχνην καὶ τὰς λοιπὰς δύο καὶ ἀποδείκνυσιν αὐτὴν χαλεπωτέραν πασῶν. χλούνην· τὸν χοῖρον ἐν τῇ χλόῃ εὐναζόμενον, χοῖρον ἄγριον, σύγκρισις, χοῖρον, ὁ ἐν τῇ χλόῃ εὐναζόμενος, ἢ τὸν ἐν τῇ χλόῃ νέοντα. ἠδὲ καί· ἐκ παραλλήλου· τὸ ἠδὲ ἀττικῶς μὲν διὰ τοῦ η, ἰωνικῶς δὲ διὰ τοῦ ι. ἄρκτον· καὶ ἄρκον· παρὰ τὸ ἀρκῶ ἄρκος καὶ ἄρκτος ἡ ἐπαρκῶσα ἑαυτὴν, ἢ παρὰ τὸ κατὰ τὸν χειμῶνα ἀρκεῖσθαι καὶ διαζῇν χωρὶς τῆς εἰσίκτου τροφῆς, λέγουσι δ’ ὅτι τὸν χειμῶνα περιλείχει τὰ πέλματα τῶν ποδῶν αὐτῆς καὶ ἐπαρκεῖται ὅλον τὸν χειμῶνα.

1.13 Θηρητήρ· κυνηγέτης, κυνηγός. ὁράα· ὁρᾷ, κατ’ ἐπέκτασιν αἰολικήν. ἀντιόωντα· τὸν χοῖρον· ἐπένθεσις τοῦ ο καὶ τοῦ τόνου ἀναβιβασμός· ἀντιῶντα γάρ ἐστι τὸ συνῃρημένον. ἀντιόωντα· ἐξ ἐναντίας ἐρχόμενον· ὁμώνυμος ἡ λέξις· ὅτε γὰρ δηλοῖ τὸ ἀντιλαμβάνεται, συντάσσεται

αἰτιατικῇ, ὅτε δὲ τὸ ἀπαντᾷν, μετὰ γενικῆς. δοκεύει· ἐπιτηρεῖ, βλέπει, διανοεῖται, ἐστὶ δὲ καὶ ἀντὶ τοῦ δέχεται, καταστοχάζεται.

1.14 Ἀμφαδίην· φανερῶς, ἀναφανδόν. ἔκαθεν· μακρόθεν, ἀπομακρόθεν, πόρρωθεν. βαλεῖν· τρῶσαι. σχεδόθεν· ἐκ τοῦ σύνεγγυς, ἐκ τοῦ πλησίον· τὸ βαλεῖν κυρίως ἀπὸ μακρόθεν, τὸ δὲ δαμάσαι ἐκ τοῦ σύνεγγυς. δαμάσαι· τρῶσαι, νεκρῶσαι.

1.15 Ἄμφω· ἄθροισις, ὁμοῦ· ἐπίρρημά ἐστιν ὀνομαστικὸν σχηματιζόμενον κατὰ δυϊκὴν πτῶσιν. ἀσφαλέως· ἀκινδύνως, συνεκδοχή. γαίης ἔπι· ἀναστροφή. θήρ τε καὶ ἀνήρ· μερισμὸς, ἀόριστον καὶ ὡρισμένον.

1.16 Μάρναται· μάχονται, συζυγίας β′ τῶν πλειόνων· ἐκ τοῦ μαρνῶ μάρνημι καὶ τὸ παθητικὸν μάρναμαι, τὸ δὲ μαρνῶ ἐκ τοῦ μὰρ ἡ χείρ· ἢ παρὰ τὸ μαργῶ τὸ μαίνομαι· οἱ γὰρ μαχόμενοι μαινομένοις ἐοίκασιν. μάρναμαι κυρίως διὰ χειρὸς μάχομαι· μάρνη γὰρ ἡ χείρ. σκύλακες· οἱ μικροὶ τῇ ἰδέᾳ. συνέμποροι· συνοδοιπόροι, συμπορευόμενοι, συνακόλουθοι. ἡγεμονῆες· ὁδηγοὶ, πρόοδοι, προηγούμενοι τὰ θηρία ὑποδεικνύουσιν.

1.17 Κνώδαλα· τὰ θηρία, τὰ ὑπὸ τῶν κυνῶν ἁλισκόμενα· κνώδαλα λέγονται καὶ τὰ χερσαῖα ζῶα τὰ ὑπὸ τῶν κυνῶν ἁλισκόμενα καὶ τὰ ἐναέρια ἢ πτηνὰ ἀπὸ τοῦ κνώσσειν καὶ κοιμᾶσθαι ἐν τοῖς δαλοῖς ἢ κλάδοις τῶν δένδρων, καὶ τὰ θαλάσσια ἀπὸ τοῦ κινεῖσθαι ἐν τῇ ἁλί. κνώδαλα πτηνά. Κνώδαλα σημαίνει τρία, τὰ χερσαῖα, τὰ θαλάσσια καὶ τὰ πτηνά· τὰ μὲν χερσαῖα διὰ τὸ ἁλίσκεσθαι ὑπὸ τῶν κυνῶν κυνόδαλα καὶ κνώδαλα, τὰ πτηνὰ ἀπὸ τοῦ κνώσσειν ἐν τοῖς δάλοις καὶ τοῖς συνδένδροις τόποις· κνώδαλα τὰ θαλάσσια παρὰ τὸ κινεῖσθαι διὰ τῆς ... ἰθύνουσιν· ὁδηγοῦσιν, εὐθυποροῦσιν, ὀρθῶς ἄγουσιν, ἐξάγουσιν. ἄνακτας· αὐτῶν δεσπότας, οἰκοδεσπότας. Ἄναξ σημαίνει τρία, τὸν βασιλέα, τὸν ἄρχοντα καὶ τὸν οἰκοδεσπότην, ἐτυμολογεῖται δὲ παρὰ τὸ ἀνακῶς, ἤως ἐπιμελῶς διακεῖσθαι πρὸς τοὺς ὑπ᾽ αὐτόν.

1.18 Εὐνήν· κοίτην. Εὐνὴ σημαίνει τρία, τὴν κοίτην, τὴν ἄγκυραν καὶ τὴν διατριβήν· τὴν κοίτην, ὡς τὸ εὕδω τὸ κοιμῶμαι εὐδίνη καὶ συγκοπῇ εὐνή· τὴν ἄγκυραν τῆς νηὸς ἀπὸ τοῦ εὐνάζειν καὶ ἐν ἡσύχῳ ποιεῖν τὴν ναῦν,

ὡς τό
ἐκ δ᾽ εὐνὰς ἔβαλον.
καὶ τὴν διατριβὴν, ὡς τό
ὅθι πού φασιν ἔμμεναι εὐνάς.
ἀρηγόνες· βοηθοί.

1.19 Τοῖς· τούτοις, κυνηγοῖς, τοῖς ἐπὶ τῇ ἠπείρῳ. δέος· φόβημα. ὀπώρη· τὸ θέρος, ὀπωρινή.

1.20 Φλέγμα· καῦμα, κάκωσιν, ἤγουν φλεγμονὴν καὶ καύσωνα. ἐπακτήρων· κυνηγῶν, κυνηγετούντων ἀπὸ τοῦ ἐπάγειν ἄτην. ἀλεωραί· καταφυγαὶ, ἀναπαύσεις· ἀπὸ τοῦ ἀλέα ἡ θερμασία γίνεται ῥῆμα ἀλέω καὶ ἀλεύω τὸ φεύγω, κυρίως δὲ τὸ ἀπὸ ψύχους εἰς θέρμην καταφεῦγον.

1.21 Λόχμαι· δειράδες, σκιεροὶ τόποι φαλαγγώδεις, σύνδενδροι τόποι· λόχμαι παρὰ τὸ λοχᾶν ἐν αὐτῷ τουτέστι ἐνεδρεύειν· ἔστιν οὖν λόχη καὶ πλεονασμῷ τοῦ μ λόχμη. δειράδες· ἐξοχαὶ, ὀρῶν ἐξοχαὶ, ἀετήρια.

1.22 Αὐτορόφου· αὐτόματον ἐχούσης τὴν ὀροφὴν καὶ τὸ στέγος, αὐτοσκευάστου, αὐτοκατασκευάστου. τιταινόμενοι· ἐξαπλούμενοι καὶ ἐξερχόμενοι, συρόμενοι, φερόμενοι, ἰωνικῶς, ἐκτάδην ῥέοντες καὶ ἐξαπλούμενοι. κατ᾽ ὄρεσφι· κατὰ τὸ ὄρος. ὄρεσφι· καὶ τοῖς ὄρεσιν.

1.23 Ἀργυρέοι· λευκοὶ, καθαροὶ παρὰ τὸ ἀργὸν, ὃ σημαίνει τὸ λαμπρὸν καὶ λευκόν· καὶ γὰρ καὶ οἱ ποιηταὶ τὰ λευκὰ πάντα οὕτω καλοῦσι παρὰ τὸ τάχιον τοὺς ὁρῶντας ὀρέγεσθαι ποιεῖν, τοῦτο δὲ παρὰ τὸ ἀγλαὸν καὶ μεταθέσει ἀλγόν καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ἀργόν. ἄκος· θεραπεία ἀπὸ τοῦ ἀκὴ ἡ ὀξύτης τοῦ βέλους ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τῶν κοπτόντων τὰ σεσημμένα μέλη τῶν πληγῶν μετὰ τοῦ σιδήρου.

1.24 Ἀέναοι· ἀεὶ νάοντες, διηνεκεῖς, ἀείρρυτοι. ταμίαι· φύλακες, δοτῆρες. Ταμίας ἀπὸ τοῦ τετιμῆσθαι αὐτοῦ τὴν ἐξουσίαν, ἢ παρὰ τὸ τέμνειν αὐτὸν καὶ ἀπομερίζειν τοῖς ἄλλοις. ταμίαι· διοὰ παροχεῖς. παρὰ δὲ χλοάουσι ῥεέθροις· ὑπερβατὸν κατὰ λέξιν. χλοάουσι· φύουσιν, ἀκμῶσι, καὶ ἀναβλαστάνουσι, βλυστάνουσιν. Χλόη παρὰ τὸ θάλλω θαλόη καὶ

συγκοπῇ καὶ τροπῇ τοῦ συμφώνου εἰς σύμφωνον χλόη. ῥεέθροις· ῥεύμασιν.

1.25 Ποῖαι· βοτάναι. χθαμαλαί· σμικραὶ, ἁπαλαί. ποῖαί τε χθαμαλαί· βοτάναι ταπειναὶ μικρὸν τῆς γῆς ἐξέχουσαι. κλίσις· στρωμνὴ, πτῶσις, ἀνάπαυσις. ἑλέσθαι· ὥστε λαβεῖν· διὰ τῶν ἀμεταβόλων παρέστησε τὸ λεῖον τῆς ἀναπαύσεως.

1.26 Εὔδιον· γλυκὺν, ἥσυχον, γλυκύτατον. καμάτοιο· κόπου, ἐκκοπῆ. δόρπα· δεῖπνα. Δεῖπνος, ἄριστος καὶ δόρπος διαφέρουσιν· δεῖπνος λέγεται τὸ παρὰ τῆς κοινῆς πρόγευμα, ἐτυμολογεῖται δὲ παρὰ τὸ δεῖ πονεῖν, δόρπος δὲ παρὰ τὸ δόρυ παύειν, κυρίως ἐπὶ τοῦ μέσου· ὁ γὰρ πόλεμος τῇ νυκτὶ παύει, ἄριστος δὲ τὸ μέσον. πάσασθαι· φαγεῖν, μεταλαβεῖν, γεύσασθαι, λαβεῖν.

1.27 Ὕλης· ἀπὸ τῆς δασύτητος. ἀγρονόμοιο· ἐν ἀγρῷ τρεφομένης, αὐξανομένης, τῆς ἐν τῷ ἀγρῷ τὴν νομὴν ἐχούσης, ἢ τοῖς ἀγρίοις ζώοις τὴν νομὴν παρεχούσης, τῆς ἐν ὄρει ἀγρίας νομῆς, ὀρεινῆς. τάτ'· ἄτινα, ἰωνικῶς.

1.28 Τερπωλή· χαρὰ, εὐφροσύνη. ἠέ· ἰωνικόν. ἠέπερ· παρό. ἱδρώς· κόπος.

1.29 Ὅσσοι· κυνηγοί· ἐν τῷ προοιμίῳ τοῦ ποιήματος παραβάλλων τὴν ἁλιευτικὴν τέχνην ταῖς ἄλλαις, λέγω τῇ ἰξευτικῇ καὶ κυνηγετικῇ, ἀποδείκνυσι ταύτην χαλεπωτέραν. Ὅσσοι· Αἰολέων· πληρώσας τὴν τῶν κυνηγετῶν σύγκρισιν ἤρξατο καὶ τῶν ἰξευτῶν. οἰωνοῖσιν· ὀρνέοις· οἰωνοὶ τὰ ὄρνεα, κυρίως δὲ οἱ γῦπες ἀπὸ τοῦ οἰῶ τὸ μονῶ· μεμονωμένον γὰρ συλλαμβάνει ὑπὸ τοῦ ἀνέμου, μὴ ὄντος ἄρρενος. παρὰ τὸ οἰῶ τὸ μονῶ· μεμονωμένος γὰρ συλλαμβάνει, ὁ μέλλων οἰώσω· μόνον γὰρ τὸ ζῶον αὐλίζεται· οἰωνοὶ κυρίως οἱ γῦπες δίχα ἀρρένων ὠὰ γεννῶντες καὶ τῷ ἀέρι πετώμενοι συλλαμβάνοντες, καταχρηστικῶς δὲ πᾶν ζῶον. ἐφοπλίζονται· ἐπαναστροφή· κατασκευάζουσιν· ῥητορικὴ ἡ λέξις· εὐτρεπίζονται, ἑτοιμάζονται, εὐτρεπίζουσιν. ὄλεθρον· ἀπὸ τοῦ ὄλλω καὶ θρόον· φθοράν.

1.30 Ῥηιδίη· εὐκολωτάτη, εὔκολος, εὐχερής. τοῖσι· τούτοις, τῶν. ὑπόψιος· φανερὰ, θεατὴ, φανερὰ ἐν τοῖς ὀφθαλμοῖς.

1.31 Κνώσσοντας· κοιμωμένους· κένωσις ὄσσων. Κνώσσω τὸ κοιμῶμαι παρὰ τὸ εἶναι κενὸν τῶν ὄσσων ἤτοι τῶν ὀφθαλμῶν, ἢ ἀπὸ τοῦ ἑνὸς ὄσσων εἶναι. ἐληΐσαντο· ληΐζω κυρίως ἐπὶ τῶν ἀνθρώπων πολεμούντων τὸ λαφυραγωγῶ· ἠχμαλώτευσαν, ἐκράτησαν, ἔλαβον, ἤγρευσαν. καλιῇς· ἐν, ἀπὸ τῶν κάλων· καλιὰ ἡ ἐκ κάλων οἰκία· ἢ κατὰ τὴν καλιάν. καλιῇς· φωλεαῖς. Καλιά· κυρίως ἡ ἐκ ξύλων καλῶν οἰκία.

1.32 Τοὺς δέ· ἄλλους, τοὺς οἰωνούς. δόναξιν· καλάμοις. Δόναξ ὁ κάλαμος ὁ ἁλιευτικὸς, ἢ αὐλός· πρότερον γὰρ ταῖς θήραις ἀντὶ κέρατος ἐτίθεσαν καλάμους, γίνεται δὲ παρὰ τὸ δονῶ τὸ συστρέφω· ὁ ταῖς τῶν ἀνέμων πνοαῖς λίαν στρεφόμενος· τοῖς δὲ τῶν πτηνῶν δόναξιν ἤως καλάμοις κατὰ τὸ ἄκρον ἔχουσιν ἰξὸν ἐφειλκύσαντο καὶ ἐπεσπάσαντο οἱ ἐν τούτοις ἐσχολακότες ἐπέσπασαν· καθείλκυσαν, ἔλαβον, ἐπεσπάσαντο, κατεῖχον. ἰξοφόροισιν· τοῖς φέρουσιν ἰξόν, ἰξὸς δ’ ἐστὶν εἶδός τι κολλητικὸν, ὡς ἐὰν προσπελάσῃ ὄρνιθός τινος πτίλον, παραχρῆμα ἐκεῖ προσμένει, οἱ δὲ λοιποὶ διὰ τῶν λίνων ἤως διὰ τῶν δικτύων ἐμπίπτοντες αὐτοῖς ἀγρεύονται κοίτης ἐπιθυμοῦντες.

1.33 Οἱ δέ· ἄλλοι, ἤγουν οἱ ὄρνεις. τανυπλέκτοισιν· μακρῶς πεπλεγμένοις, μακροπλέκτοις, ἐπὶ πολὺ πλεκομένοις, ἀνακροτάτοις, τοῖς εἰς μῆκος πεπλεγμένοις. ἔρκεσιν· δικτύοις. ἤριπον· ἔπεσον.

1.34 Εὐνῆς· ἀναπαύσεως· εὐνὴ ἡ κοίτη, καὶ ἡ ἄγκυρα, ὡς τό
ἐκ δ’ εὐνὰς ἔβαλον
παρὰ τὸ εὐνάζειν τὴν ναῦν, καὶ ἐν ἡσυχίᾳ ποιεῖν. εὐνῆς· κοίτης, ἀναπαύλη. ἀτερπέα· ἀηδῆ, ἀνεύφραντον. αὖλιν· ἀνάπαυσιν, κατασκήνωσιν, καὶ διατρίβον. ἔκυρσαν· εὗρον, ἔτυχον, ἔσχον.

1.35 Τλησιπόνοις· καρτερικοῖς, καρτεροπόνοις, τοῖς ὑπομονητικοῖς, τοῖς τληπαθέσι, ἀτέκμαρτοι· ἀπλήρωτοι, ἀσήμαντοι, ἀφανεῖς, ἄδηλοι. ἄεθλοι· κόποι, ἀγῶνες. Ἄεθλοι· παράγεται ἐκ τοῦ α καὶ τοῦ ἐθέλω· Ἄεθλοι· ὑπάρχουσι. Ἆθλος· ἀττικῶς, τούτου ἀθλῶ καὶ ἀθλητὴς, ἄεθλος ποιητικὸν, ἀεθλεύω τὸ εὐθελῶ, ποιητικὸν καὶ αὐτὸ, οὐ μὴν ἐκ τούτου καὶ

ἀεθλευτός. οὔτε γὰρ τοῖς ποιηταῖς, οὔτε τοῖς τῇ κοινῷ γράφουσιν εὔχρηστον.

1.36 Οὐ σταθερά· οὐ βεβαία, ἀβέβαιος. ἐλπὶς οὐ σταθερή· γνώμη· ἐλπὶς οὐ μόνιμος καὶ βεβαία ἡδύνει καὶ εὐφραίνει τὴν φρένα αὐτῶν, ἀλλὰ λεπτὴ καὶ ἀσθενής. σταθερή· βεβαία. σαίνει· ἀπὸ μεταφορᾶς τῶν σαινόντων κυνῶν. σαίνει· εὐφραίνει· σαίνειν κυρίως ἐπὶ τῶν κυνῶν ἀπὸ τοῦ σῶ σαίνω καὶ σέω. σαίνει—θέλγει. ὄνειρος· ὁ τὸ ὂν εἴρων ἢ ὁ ἐκ τῆς ἔρας ἀνυόμενος, ὡς καὶ Εὐριπίδης

ὦ πότνια χθὼν, μελανοπτερύγων μᾶτερ ὀνείρων

ὄνειρος ἀπὸ τοῦ ὀνῶ τὸ ὠφελῶ καὶ τοῦ ῥῶ τὸ λέγω· ἀπατᾷ γὰρ τοὺς κοιμωμένους, δοκοῦντας βλέπειν τι, ἔξυπνοι δὲ γεγονότες λυποῦνται.

1.37 Ἀκινήτου· ἀσαλεύτου, ἐστηριγμένης. ὑπέρ· ὑπεράνω. ὑπεραεθλεύουσιν· ὑπεραγωνίζονται· ἀπὸ τοῦ ἐθέλω ἄεθλον ἆθλον, τοῦτο ἀπὸ τοῦ λῶ τὸ θέλω. ἀεθλεύουσι· κακοπαθοῦσιν, ἀγωνίζονται.

1.38 Χαλεπῷ· χαλῶν τὴν ὦπα, ἐπικινδύνῳ. κρυερῷ· φρικωδεστάτῳ, χαλεπῷ. ἄσχετα· ἀκράτητα, ἀκρατήτως, πως, ἀκαθέκτως. μαργαίνοντι· μαινομένῳ, μανικῶς κινουμένῳ.

1.39 Συμφορέονται· συγκινοῦνται, κινοῦνται, ἐγκινοῦνται, συναστατοῦσιν. ἰδέσθαι· ἰδεῖν, θεαθῆναι.

1.40 Δεῖμα· φόβημα, φόβον. φέρει· ἄγει. μοῦνον· αἰολικὸν, ἰωνικόν, μόνον. ὑπ' ὄμμασι· δι' ὄμματος, ὡς ἐπίρρημα. πειρήσασθαι· πεῖραν λαβεῖν τούτου, ἀπεικάσαι, πεῖραν λαβεῖν, δοκιμασίαν καὶ γνῶσιν σχεῖν, ἢ εἰς συναίσθησιν ἐλθεῖν, τὸ δὲ θηήσασθαι ἤως θεωρῆσαι καὶ ἀποστείλασθαι· γράφεται θηήσασθαι, ἤγουν θεωρῆσαι καὶ ἀναπολήσασθαι.

1.41 Δούρασι· ξύλοις, πλοίοις, ἐν μακραῖς κώπαις καὶ τῇ λοιπῇ ἀποσκευῇ τῶν πλοίων· δόρυ λέγεται τὸ ξυτὸν, ἐπεὶ δ' ἀπὸ τῶν ξύλων τὸ πλοῖον, καὶ αὐτὸ δόρυ. βαιοῖσιν· μικροῖς. ἀελλάων· ἀνέμων, τῶν ἀνέμων τῶν ἐναλίων. Ἄελλα· ἡ πνοὴ, ἡ ἄγαν ἠχοῦσα, παρὰ τὸ ἄω τὸ πνέω ἀήσω ἄεσα καὶ ἄελλα, ἢ πάλιν ἀπὸ τοῦ ἄω τὸ πνέω καὶ τὸ ἑλῶ τὸ συστρέφω ἡ τῶν ἀνέμων συστροφὴ, καὶ πλεονασμῷ τοῦ ἑτέρου λ, καὶ προπαροξύνεται·

κανὼν γὰρ ἔστιν ὁ λέγων· τὰ εἰς λα ὑπὲρ μίαν συλλαβὴν ἔχοντα τὴν προτέραν συλλαβὴν εἰς λ καταλήγουσαν ἅπαντα προπαροξύνονται, οἷον μάκελλα, δίκελλα, Πρίσκιλλα, Φανκόνιλλα, Σύβιλλα, θύελλα, ἄελλα. Ὥσπερ λέγομεν θεράποντες Ἄρηος, καὶ θεράποντες λόγου, ἢ καὶ Μουσῶν, οὕτω καὶ θεράποντες ἀνέμων, ὅτι καὶ ἄκοντας ἕλκουσιν αὐτοὺς οἱ ἄνεμοι ἔνθα ἂν βούλωνται. θεράποντες· δοῦλοι, ὑπηρέται.

1.42 Πλαζόμενοι· πλανώμενοι· τὸ πλάζω ἐκ τοῦ πλανῶ, τοῦτο δ' ἐκ τοῦ ἄλη ἡ πλάνη, αὕτη δ' ἐκ τοῦ ἀλῶ, τοῦτο ἐκ τοῦ λῶ τὸ θέλω καὶ τὸ στερητικὸν α ἀλῶ· ὁ γὰρ πλανώμενος οὐχ ὅπου θέλει πορεύεται. θυμόν· προθυμίαν, ψυχὴν, τὴν διάνοιαν αὐτῶν· θυμὸν τὴν προθυμίαν καὶ ὀργὴν λέγει, ἢ τὴν ψυχήν. οἴδμασιν· θαλάσσῃ, κύμασιν, ἀπὸ τοῦ οἰδαίνω ἐξογκῶ· ἀνεγείρεται γὰρ καὶ οἷον πεφύσηται ἐν τοῖς ὕδασιν.

1.43 Νεφέλην· νέφος. ἰοειδέα· μέλαιναν· ἰοειδέα ἀπὸ τοῦ ἴον τὸ ῥόδον· ἔοικε γὰρ τὸ νέφος ἴου χροιᾷ, ἢ τὴν μέλαιναν· καὶ Ὅμηρος
ἰοειδέα πόντον.
ἀπὸ τοῦ ἰὸς τὸ βέλος. ἰοειδέα· μέλαιναν, ζοφεράν· ἴον τὸ μέλαν ἄνθος. παπταίνουσιν· ἐπιτηροῦσιν ἀπὸ τοῦ τὰ φάη πεταννύειν, βλέπουσιν· παπταίνω ἤτοι φαπεταίνω, τουτέστι τὰ φάη πεταννύω καὶ ἐν συγκοπῇ καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν παπταίνω· βλέπουσι τοῖς ξύλοις τούτοις ἢ τοῖς πλοίοις μόνοις.

1.44 Τρομέουσι· φοβοῦνται, δεδοίκασιν. μελαινόμενον· σκοτιζόμενον, ἐκ τοῦ ταράσσεσθαι, κυματούμενον, ζοφώδη. μελαινόμενον πόρον ἅλμης· περιφραστικῶς ἂν ἀντὶ τοῦ τὴν θάλασσαν τὴν μελαινομένην. πόρον· τὴν ἐπιφάνειαν. ἅλμης· παρὰ τοῦ ἁλὸς ἅλιμος, ὡς κῦδος κύδιμος, τὸ προσηγορικὸν παρώνυμον· τὸ θετικὸν ἁλίμη, ὡς κυδίμη καὶ ἐνδείᾳ τοῦ ι ἅλμη· γίνεται ἀπὸ τῆς ἁλὸς ἅλη, ὡς εὔφρονος εὐφροσύνη, ἀμύμονος ἀμυμόνη, ἐπενθέσει τοῦ μ ἅλμη, ἐπεισόδῳ δὲ τοῦ μ ὡς ἀχυρμιά ἢ χερμάδιον καὶ τυμπάνιον· ὁ γὰρ πλεονασμὸς τοῦ μ πολύς.

1.45 Φοιταλέων· ἕνεκα, μανικῶν, ἀπὸ τοῦ φοῖτος ἡ μανία, σφοδρῶν, τῶν ἐπερχομένων καὶ ὁρμητικῶν, τῶν ἄγαν μανικῶν ἀπὸ τοῦ φοῖτος ἡ μανία, τοῦτο δὲ παρὰ τὸ φύειν οἶτον, ἤως θάνατον, ἢ τῶν σφοδρῶν ὁρμώντων

ἔνθεν κἀκεῖθεν, μανικῶς ὁρμωμένων. σκέπας· ἀποκοπὴν, ἐκφυγὴν, σκέπασμα. ὄμβρων· ὄμβρος παρὰ τὸ ὁμοῦ ῥέειν ὁμόρροος, καὶ ἐν συγκοπῇ ὄμβρος· ἐπεὶ τὸ μ πρὸ τοῦ ῥοῦ δασύνεται, ἔστι πλεονασμὸς τοῦ β.

1.46 Ἀλκήν· βοήθειαν, ἀποφυγὴν, βοήθημα· ἀλκὴ παρὰ τὸ ἀρκῶ ἀρκὴ καὶ μεταθέσει τοῦ ρ εἰς λ ἀλκὴ, ἢ παρὰ τὸ ἀκμὴν τὴν ἡλικίαν ἔχειν, τοῦτο δὲ παρὰ τὸ καμῶ τὸ κοπιῶ γίνεται κμὴ, καὶ μετὰ τοῦ στερητικοῦ α ἀκμὴ, ἡ μὴ ταχέως κοπιῶσα, ἀλλὰ φέρειν κόπους δυναμένη. Τερατώδης ἐστὶν ὁ λόγος· ἔθος γάρ ἐστι τοῖς ποιηταῖς τερατολογεῖν. πυρός· καύματος, κυνάστρου, καὶ τοῦ καύσωνος. ἄλκαρ· βοήθειαν, ἀποσόβημα, βοήθημα, ἀποφυγήν. ὀπωρινοῖο· θερινοῦ, τοῦ καυστικοῦ κυνάστρου. φέρονται· ἔχουσι, φέρουσι, φέρουσι κατὰ τὸν καιρόν.

1.47 Βλοσυρῆς· καταπληκτικῆς ἀπὸ τοῦ τὸ βλέμμα σύρειν, φοβερᾶς. βλοσυρῆς τῆς καταπληκτικῆς ἀπὸ τοῦ βάλλειν καὶ σύρειν τὰ ὄμματα· βολαὶ γὰρ τὰ ὄμματα. βλοσυρῶς ἀπὸ τοῦ σοβαρῶς καὶ ἐπηρμένως βλέπειν. βλοσυρῆς· ἀγρίας. δυσδερκέα· δυσθέατα, δυσθεώρητα. δείματα· φοβήματα. λίμνης· θαλάσσης· λίμνη ἀπὸ τοῦ λίαν μένειν τὸ ὕδωρ ἐν αὐτῇ· οὔτε γὰρ αὐξάνεται, οὔτ᾽ ἐλαττοῦται, πολλῶν εἰς αὐτὴν ποταμῶν κατερχομένων. λέγει θαλάσσης ἀπὸ τοῦ λίαν μένειν.

1.48 Κήτεα· κῶ κεῖμαι. πεφρίκασι· πεφόβηνται, ἁλιεῖς φοβοῦνται, δεδοίκασιν. ἀντιόωσιν· συναντῶσιν, ἐναντιοῦνται, ἐξ ἐναντίας ἔρχονται.

1.49 Εὖτ᾽ ἂν· ὁπηνίκα, ὁπόταν. ὑποβρυχίης· βαθυτάτης, κατωτάτης, βαθείας. ἄδυτον· κατώτατον, ἄπρακτον, ἀκατάληπτον, ἀπλήρωτον. περόωσι· ὁδεύουσιν. θαλάσσης· τῆς εἰς τὰ Γάδειρα, γνοφερὸν πέλαγος.

1.50 Ἡγεμονεύει· δεικνύει, ὁδηγεῖ.

1.51 Ἰχθυβόλοις· ἁλιεῦσιν, ὥσπερ τοῖς κυνηγοῖς. ἴχνη γάρ· γνώμη. ἴχνος παρὰ τὸ ἴσχειν τὸν ποῦν, ὅ ἐστι κρατεῖν, ἢ παρὰ τὸ ἀνέχεσθαι τῆς γῆς, ἢ παρὰ τὸ ἐν τῇ γῇ ἴεσθαι, ἤως πορεύεσθαι, ἢ παρὰ τὸ ἴεσθαι εἰς τὸν χοῦν. ἀείδελα· ἀθεατά ἐστιν, ἀφανῆ. νηχομένοισιν· ἰχθύσι παρὰ τὸ νέω τὸ κολυμβῶ τροπῇ τοῦ ε εἰς η καὶ πλεονασμῷ τοῦ χ νήχω. νηχομένοισιν· ἐπί.

1.52 Σχεδόν· πλησίον. ἵξεται· ἐλεύσεται, καὶ ἀντικρὺς παραγίνεται, ἀφίξεται. ἄγρης· θήρας· ἄγρα ἡ ἐνέργεια, ἀγρευτὴς ὁ ἐνεργῶν, τὰ δ᾽ ὄργανον δι᾽ οὗ ἀγρεῦσι σεσιώπηται, ἴσως ἐρεῖ τις ἀγρευτήριον.

1.53 Ἀντιάσας· ὁ ἰχθὺς, ἐξ ἐναντίας ἐλθὼν ἰχθὺς, ἐπιτυχὼν, ὁ πλησιάσας ἰχθὺς, συναντήσας. ὁδόν· καὶ κατά τι πρᾶγμα, μέρος. μίην ὁδὸν ἵσταται· ἤγουν τὴν αὐτὴν ὁδὸν πορεύεται. ἵσταται· ἔρχεται, πορεύεται.

1.54 Θριξί· ἀπὸ τοῦ θρίζω, ἐκ τοῦ θερίζω θερίξω θέριξ καὶ θρὶξ, καὶ διὰ τί οὐ κλίνεται θριχός; ἐπειδὴ οὐδέποτε εὑρίσκεται λέξις δισύλλαβος ἐν χρήσει ἀρχομένη ἀπὸ δύο δασέων· τοῦ γὰρ
ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,
ὁ φθίθω ἐνεστὼς οὐχ εὑρίσκεται ἐν χρήσει. δέ· γάρ. ἐν ἠπεδανοῖσι· ἐν ἀσθενέσιν. ἠπεδανῇσι· ἀσθενέσιν· ἠπεδανὸν ἀσθενὲς ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ πέδον ἤγουν τὸ μὴ δυνάμενον ἐκ τῆς γῆς ἀναστῆναι δι᾽ ἀσθένειαν· ἰστέον, ὅτι πολλαὶ λέξεις εἰσὶ συγκείμεναι ἐκ ταυτοσημάντων λέξεων· αὐτίκα γὰρ ἐκ τοῦ ὄρρω καὶ θύνω τὸ ὀροθύνω γίνεται, ἐκ τοῦ θύω καὶ χε... ἐκ τοῦ πόποις καὶ ἄνθρωπος ἐκ θείων λέξεων τὸ πόπανα, ἐκ τοῦ θροῦς καὶ βοὴ ὁ θόρυβος, ἐκ τοῦ καίειν καὶ δαίειν Κανδάων ὁ Ἄρης, ἐκ τοῦ νάειν καὶ χέειν καὶ ῥέειν ὁ χρόνος, ἐκ τοῦ μόρος καὶ φόνος μόρφνος ὁ ἀετὸς, ἐκ τοῦ πρᾷος καὶ εὐμενὴς ὁ πρευμενὴς, ἐκ τοῦ ἠλεὸν καὶ μάταιον ἠλέματον, ἐκ τοῦ γῆ καὶ πέδον γήπεδον, τὸ τῆς οἰκίας πεδίον, οἰκήπεδον δὲ τὸ τῆς καταβληθείσης οἰκίας πεδίον, ἐρειποτόπιον λεγόμενον. ὄμβρος παρὰ τὸ ὁμοῦ καὶ τὸ ῥοῦς ὄμρος, καὶ ἐπεὶ, τοῦ μ πρὸ τοῦ ρ κειμένου, δασύνεται τὸ πρὸ αὐτοῦ, ἐγένετο τοῦ β πλεονασμός. ἠπεδανὸς παρὰ τὸ πέδον, ὃ σημαίνει τὴν γῆν πεδανὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀπεδανὸς ὁ μὴ δυνάμενος ἐκ τοῦ πέδου ἀναστῆναι δι᾽ ἀσθένειαν, καὶ τροπῇ τοῦ α εἰς η ἠπεδανὸς καὶ ἀπεδανὴ, ἔμπαλιν δ᾽ ἔμπεδον τὸ στερεόν. παλιγγνάπτοιο· εἰς τοὐπίσω καμπτομένου, ἐπικαμποῦς. παλιγγνάμπτοιό τε χαλκοῦ· περιφραστικῶς ἀντὶ τοῦ ἐν τῷ ἀγκίστρῳ. χαλκοῦ· ἀγκίστρου.

1.55 Χείλεσι· ἄκροις, οὗ ἐν. Χεῖλον τὸ ἄκρον τοῦ ἀγκίστρου· παρὰ τὸ χέας χέλος καὶ χεῖλος, ἐν ᾧ χέονται αἱ τροφαὶ ἢ οἱ λόγοι. δονάκεσσι· καλάμοις. λίνοισι· δικτύοις καὶ σχοίνοις. κάρτος· τὴν ἰσχὺν, ἰωνικῶς.

1.56 Οὐ μέν· οὐ μήν. τερπωλῆς· χαρᾶς· λύσις τοῦ ἀντιπίπτοντος, ἐνδιάσκευος διήγησις. ἀπολείπεαι· στερῇ, ἰωνικῶς· ἀποστροφὴ πρὸς βασιλέα. ἀπολείπεαι· ἀπολειφθῇς ἰωνικῶς· πρὸς τὸν βασιλέα ὁ λόγος, ὅτι ἡ ἁλιευτικὴ εἶς σε, ὦ βασιλεῦ, λαμπρὰ καὶ γλυκυτάτη· οἱ γὰρ βασιλεῖς περινοστοῦντες ἀγρεύουσι καὶ αὐτοί. αἴκ'· ἐάν. ἐθέλησθα· ἀττικῶς, ἐθέλῃς, αἰολικῶς, θέλῃς.

1.57 Γλυκερή· ἡδεῖα· γνώμη. δέ· γάρ. βασιλήιος· καὶ ἡ τοῦ βασιλέως, βασιλική· ἰωνικόν. ἄγρη· κυνηγέσιον.

1.58 Εὐγόμφωτον· καλοκάρφωτον, ἐυκάρφωτον· γόμφος τὸ καρφίον. εὐγόμφωτον καλοήλωτον, πάνυ ἐλαφρὸν πρὸς τὸν πλοῦν· γίνεται οὖν παρὰ τὸ κάμπτω γνάμπτω γόμφος. εὐγόμφωτον· εὖ τοῖς ἥλοις προσηλαμήν. ἐΰζυγον· πλατύτατον, ἐυκάθεδρον, κατὰ διάλυσιν, ἰωνικῶς διαλύουσι τὸ εὖ εἰς ε καὶ υ. ἔξοχα κούφην· λίαν ἐλαφρὰν, κουφοτάτην.

1.59 Αἰζηοί· νέοι ἀπὸ τοῦ ἀεὶ καὶ τοῦ ζέω. αἰζηοί· νέοι ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ἴζω· ὁ γὰρ νέος πάντοτε περιπλεῖ· αἰζηοὶ οἱ νέοι παρὰ τὸ αἶμα ζέειν, ὡς παρὰ τῆς ἡλικίας θερμῆς οὔσης· ἢ παρὰ τὸ αἴθω τὸ καίω· οἱ γὰρ νέοι διάπυροί εἰσιν. αἰζηοί· ἀκμάζοντες, νέοι. ἐπειγομένῃς· σπουδαίαις. ἐπειγομένως· μετὰ σπουδῆς, ἐσπουδασμένως. ἐλόωσιν· κινοῦσιν, ἄγουσιν, ἐλαύνουσιν, ἐλαυνέτωσαν, ἐλαύνουσιν, ἀντίκλισις.

1.60 Νῶτον ἐπιφάνειαν ἀπὸ τοῦ νωμῶ τὸ κινῶ. νῶτον ἁλός· περιφραστικῶς αὐτοῦ τὴν θάλασσαν. ὁ δ' ἐν πρύμνῃσι· γράφεται ὁ δ' ἐν μέσοισι. πρύμνῃσιν· ἀντὶ ἑνικοῦ. Πρύμνη παρὰ τὸ εἰς πέρας μένειν περιμονὴ καὶ πρυμνὸν καὶ πρύμνη· πρύμνη καὶ πρώρα διαφέρει· πρώρα παρὰ τὸ πρῶτον καὶ τοῦ ῥέοντος πρωτόρα τις οὐσία, πρύμνα δὲ παρὰ τὸ πέρας μένειν.

1.61 Ἰθυντήρ· ὁ κυβερνήτης, ὁ ναύτης. ἀλίαστον· ἀκλυδώνιστον, ἀτάραχον, ἀπλανῆ, ταχεῖαν καὶ ἀκοπίαστον, ἀνεμπόδιστον. ἀμεμφέα· ἀκίνδυνον, ἄπταιστον, ἄψογον, γαληνιῶντα.

1.62 Χῶρον ἐς· ἕως εἰς βιβάρην. εὐρύαλον· πλατύν, εὔκολον, εὐρύχωρον. εὔδια· εὐδιεινῶς, εὐδίως, ἡσύχως, ἀκινδύνως, ἠρέμα κυμαίνοντα.

πορφύροντα· λάμποντα, μελαινόμενον.

1.63 Ἔνθα· ὅπου, ἐν τῷ βιβαρίῳ, ἐν ᾧ χωρίῳ δῆλον. δαιτυμόνων· προσφιλῶν τοῖς βιβαρίταις, εὐωχουμένων, τρεφομένων, ἀναφορητικόν, καλῶν, δαῖτα ἐχόντων, θρεπτῶν. Δαιτυμόνων· τῶν εὐωχουμένων, τοὺς ἐν τοῖς καλουμένοις βιβαρίοις τρεφομένους ἰχθύας διὰ τὸ σιτίζεσθαι, ἀντὶ τοῦ δαιτυμόσι διὰ τὰ βιβάρια, τρέφονται δ' ἐν αὐτοῖς ἰχθύες εἰς τὸ ἀγρεύειν τοὺς βασιλεῖς, ἢ τῶν δίκην σιτευτῶν ἰχθύων τρεφομένων ἐν τοῖς βιβαρίοις πρὸς ἄγραν βασιλικήν. Ἰστέον δ' ὅτι ἐδήλωσε τόπον τινὰ πρὸς τὸ ζωγρεῦσαι ἐπιτήδειον, ἔνθα ζῶντας τοὺς ἰχθύας ἀποκλείοντες οἱ τοῦ βασιλέως θεράποντες ἔτρεφον αὐτοὺς καὶ ἐπεμελοῦντο πρὸς τὸ ἔχειν αὐτοὺς ἕτοιμον θήραμα καὶ ἄγραν, ὅτε χρεία ἐστὶν ἰχθύος, καὶ τούτου γενομένου βλέπων ὁ βασιλεὺς τερπωλὴν εἶχεν. Σημείωσαι δ' ὅτι ἦν καὶ ὁ τοιοῦτος τόπος τέλειος καὶ ἀμμώδης, ὥστε καὶ ναῦς ἐν αὐτῷ χωρεῖν διαπλεῖν, ὅπου καὶ προέτρεπε τὸν βασιλέα διαπλεῦσαι καὶ ἁλιεῦσαι. διατυμόνων· τρεφομένων· δαιτυμὼν ὅ τε τρέφων καὶ ὁ τρεφόμενος, γίνεται δ' ἀπὸ τοῦ δαῖς δαιτός, δαῖς δὲ λέγεται ἡ τοῖς βρώμασι φλεγμαίνουσι τράπεζα, ἐφ' ᾗ πάρεισι κεκλημένοι πολλοί, δαῖς δὲ μέσον τοῦ διδόντος καὶ τοῦ λαμβάνοντός ἐστιν, ὥστε καὶ δαιτυμὼν ὅ τε διδοὺς καὶ ὁ λαμβάνων. ἀπερείσια· τὰ πολλὰ, ἀπειρέσια, ἄπειρα ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ πέρας, οἱονεὶ μὴ πληρούμενα. ἰστέον, ὅτι ἐδήλωσε τόπον τινὰ λιμνώδη, ἔνθα ζῶντας τοὺς ἰχθύας οἱ τοῦ βασιλέως θεράποντες ἔτρεφον, ἐπιμελούμενοι αὐτῶν πρὸς τὸ ἔχειν αὐτοὺς ἕτοιμον ἄγραν, ὅτε ἰχθύων χρεία γένηται· ἦν δ' ὁ τόπος εὐρὺς, ὥστε καὶ ναῦς πλέειν ἐν αὐτῷ.

1.64 Φέρβεται· τρέφονται, τρέφεται. Φέρβειν παρὰ τὸ φέρειν βίον· ἡ γὰρ φορβὴ συνίστησι τὸ σῶμα. οὕς· ἤως τοὺς ἰχθύας σοι καὶ τοὺς ἰδίους. θεράποντες· οἱ δοῦλοι. κομέουσιν· ἐπιμελείας ἀξιοῦσι, τρέφουσιν, ἐπιμελοῦνται. ἐδωδῇ· τροφῇ.

1.65 Πιαίνοντες· λιπαίνοντες, τρέφοντες. χορόν· πλῆθος. ἄγρης· ἕνεκα. ἑτοιμότατον χορὸν ἄγρης· εἰς εὔκολον καὶ πολλὴν ἄγραν.

1.66 Μάκαρ· εὔδαιμον. παιδί· τῷ Ἀντωνίνῳ, Γορδιανῷ, ἤως τῷ Ἀντωνίνῳ, δηλονότι τῷ Γορδιανῷ. μεγαυχέι· μεγάλα αὐχοῦντι ἐπί σοι, μεγάλου κλέους, ἐκ μεταφορᾶς τῶν ἵππων ἐχόντων μεγάλους καὶ εὐπρεπεῖς αὐχένας παρὰ τὸ αὐχεῖν, τοῦτο δὲ παρὰ τὸ ἔχω ἔχειν καὶ αὐχεῖν· ἐν αὐτῷ γὰρ ὀχεῖται ἡ κεφαλή· ἢ ἀπὸ τοῦ αὐχεῖν καὶ γαυριᾷν· γαυριῶντες γὰρ καὶ ἐπαιρόμενοι τὴν κεφαλὴν ὕψει ἐκτείνομεν. μεγαλαυχέι· τῷ ἐνδόξῳ, τῷ ὑψηλοτάτῳ, ᾧ πάρεστι μεγάλως αὐχεῖν εὐδαιμονίας χάριν. πώεα· ποιμνία ἀπὸ τοῦ πῶ τὸ κτῶμαι· κτῆμα γὰρ ἐπὶ θρεμμάτων λέγεται, ἢ ὅτι ποτῷ ἥδεται. θήρης· ἀγρευτικῆς ἤως τῆς ἁλιευτικῆς.

1.67 Αὐτίκα· παρευθύς. χειρός· ἀπὸ, ἐκ, διά. ἐΰπλοκον· διάλυσις ἰωνικὴ, καλῶς πεπλεγμένην.

1.68 Ὁρμιήν· ἄγκιστρον. καλάμιον ἐκ τριχῶν πεπλεγμένην σπαστικόν. ῥίμφα· εὐκόλως παρὰ τὸ ῥίπτειν ἑαυτὸν διὰ τάχους· ὡς γὰρ κρύπτω κρύφα, οὕτω καὶ ῥίπτω ῥίφα, καὶ πλεονασμῷ τοῦ μ ῥίμφα. γένυν· κατὰ στόμα, ἤως τὸ ἄγκιστρον. κατεδέξατο· κατέσπασεν. χαλκοῦ· τοῦ ἀγκίστρου.

1.69 Ἀντιάσας· προσεγγίσας, συναντήσας. τάχα· ἴσως· γλυκὺ τὸ σχῆμα. τάχα· ἴσως καὶ ὅμως. ἕλκεται· σύρεται. ἐκ βασιλῆος· ἰωνικῶς, ἐκ τῆς χειρὸς τοῦ βασιλέως.

1.70 Οὐκ ἀέκων· ἀλλ᾽ ἑκὼν, καὶ μὴ βουλόμενος, ἀλλὰ θέλων. ἦτορ· ἡ ψυχή· ἀπὸ τοῦ ἄω ἀήτορ ἦτορ. ἦτορ, παρὰ τὸ ἄω τὸ πνέω· καὶ γὰρ πνεῦμα ἡ ψυχὴ, οἷον

δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο.

ἀπὸ τοῦ ἄη γίνεται ἀήτορ καὶ ἀφαιρέσει τοῦ α ἦτορ. ἰαίνεται· εὐφραίνεται, θάλπεται τῇ εὐφροσύνῃ. ὄρχαμε· ἡγεμών. ὄρχαμος ἀπὸ τοῦ ἄρχω ἄρχαμος καὶ ὄρχαμος. ὄρχαμε· βασιλεῦ, ἀρχηγέ· ἀπόθεσις τὸ σχῆμα.

1.71 Βλεφάροισι· ὄμμασιν. βλέφαρον ἀπὸ τοῦ ἐν τῷ βλέπειν αἴρεσθαι. βλεφάροισιν· ὀφθαλμοῖς ἀπὸ τοῦ φάρους τοῦ βλέπους ἤτοι τοῦ ὀφθαλμοῦ, ἢ ἐν τῷ βλέπειν αἴρεσθαι. φρεσί· λογισμοῖς. τέρψις· εὐφροσύνη· τέρψις ἰδεῖν ἰχθὺν ἐν ἀγκίστρῳ ἐκ θαλάσσης συρόμενον. ἰδέσθαι· ἰδεῖν, εἰς τὸ τὸν ἰχθύν.

1.72 Παλλόμενον· κινούμενον, σπαιρόμενον. πεπεδημένον· δεδεμένον, δεδεσμημένον.

1.73 Ἀλλά μοι· ἄν ποτε. ἀλλά μοι ἱλήκοις· προκατάστασις καὶ εὐχή. ἱλήκοις· εὐμενὴς γένοιο, ἵλεως γένοιο, ἵλεως ἔστω, ἵλεως γενοῦ, ἱλήκοιτε. ἵλεως γένοιτο· γράφεται καὶ ἱλήκοι ἀττικῶς ἀντὶ τοῦ ἱλήκοιτε, τὸν δὲ λόγον ἀποστρέφει πρὸς τὸ πλῆθος τῶν θαλαττιέων θεῶν καὶ πρὸς δύο πρόσωπα· προευκτικὴ κατάστασις καὶ εὐχή. ἁλός· ἅλς λέγεται ἡ θάλασσα ἀπὸ τοῦ ἁλίζω, ἁλίζω τὸ συναθροίζω· πᾶς γὰρ ποταμὸς καὶ πᾶσα λίμνη ἔχουσιν ἀρχὰς καὶ ῥίζας τὰς βρύσεις ἢ τὰς πηγὰς, τῆς θαλάσσης δὲ τοῦτο οὐκ ἔστιν, ἀλλ᾽ ἐξ ἀρχῆς ὡρίσθησαν οἱ θεοὶ συναχθῆναι ἐν αὐτῇ τὰ ὑποκάτω τοῦ στερεώματος ὕδατα. ἁλὸς πόρῳ ἐμβασιλεύων· περίφρασις, σὺ ὁ.

1.74 Εὐρυμέδων· μέγας βασιλεύς, ὁ πλατὺς βασιλεὺς, πλατέως βασιλεύων, ὁ πλατὺ βασιλεύων. Κρονίδης· καὶ ὁ υἱὸς τοῦ Κρόνου· Κρόνος οὖν Οὐρανοῦ καὶ Γῆς υἱός· Κρόνος ὁ χρόνος ὅτι πρῶτος ἐπέβαλε τὴν κρίσιν τῶν θεῶν· ὁ γὰρ Κρόνος κατέπιε τούτου τοὺς τέκνους, καθὼς λέγουσιν. γαιήοχος· ὁ τὴν γαῖαν ἔχων, ἤως ὁ Ποσειδῶν· ἀποστροφὴ τὸ σχῆμα. γαιήοχος· ὁ τῆς γῆς κρατῶν, ἤως ὁ Ποσειδῶν.

1.75 Ναετῆρες· ἀπὸ κοινοῦ ἱλήκοιτε, κάτοικοι. ἐριγδούποιο· μεγαλοήχου, μεγαλοήχος, καὶ ἄγαν ἠχητικῆς ἀπὸ τοῦ ἐριῶ καὶ τοῦ δούπω. ἐριγδούποιο· καὶ τῆς μεγαλοφώνου.

1.76 Δαίμονες· θεοί. ἀγέλας· πλήθη. Ἱστορία ὅτι ὁ Κέκρωψ ἰδὼν πολυανθρωποῦσαν τὴν Ἀττικὴν συγκαλεῖται τὸν ὄχλον καὶ παρασημαίνεται τὸν ἀριθμὸν, λάεσσιν ἤτοι λίθοις ἑκάστου ἐνρίψαντος, κἀντεῦθεν λαοὶ ἐκλήθησαν. ἁλίτροφα· τὰ ἐν τῇ θαλάσῃ τρεφόμενα.

1.77 Εἰπέμεν· ὥστε εἰπεῖν, αἰολικῶς. οἱ Δωριεῖς εἰώθασι τὴν με συλλαβὴν τιθέναι ἐπὶ τῶν ἀπαρεμφάτων ἀορίστων, καὶ, εἰ μὲν τύχοιεν ἔχειν δύο φωνήεντα, ὑπεξαίρουσι τὸ ἓν, οἷον εἰπεῖν εἰπέμεν, δοῦναι δόμεναι, θεῖναι θέμεναι, εἶναι ἔμμεναι κατὰ πλεονασμὸν τοῦ μ αἰολικῶς· εἰ δ᾽ ἓν φωνῆεν, φυλάττουσιν αὐτὸν, οἷον στῆναι στήμεναι, βῆναι βήμεναι. τὰ εἰς ν ἀπαρέμφατα ποιητικῶς κατὰ Δωριεῖς ἀποβάλλουσι τὸ ι τῆς εἰν

διφθόγγου, καὶ προσλαμβάνουσι μεταξὺ τοῦ ε καὶ τοῦ ν τὴν με συλλαβὴν καὶ οὕτω προφέρονται, οἷον λέγειν λεγέμεν· ἐν τούτοις δὲ πᾶσιν οἱ Ἀττικοὶ διὰ τὴν ἀνάγκην τοῦ μέτρου προστιθέασι τὴν αι δίφθογγον, λεγέμεναι λέγοντες· τὰ μὲν εἰς ναι λήγοντα, εἰ μὲν διφθόγγῳ παραλήγεται, ἀποβάλλουσι τὸ ἓν φωνῆεν, τὸ δοῦναι δόμεναι λέγοντες, καὶ τὸ θεῖναι θέμεναι, καὶ τὸ εἶναι ἔμεναι, εἶτα διὰ καλλιφωνίαν ἔμμεναι διὰ δύο μμ λέγουσιν ἀττικῶς· εἰ δὲ μονοφθόγγῳ, οὐδὲν ἀποβάλλουσιν· τὸ γὰρ σπαρῆναι οὐ σπαρέμεναι, ἀλλὰ σπαρήμεναι λέγουσι, καὶ τὸ τυφθῆναι οὐ τυφθέμεναι, ἀλλὰ τυφθήμεναι, καὶ τἆλλα πάντα ὁμοίως· ἐν τούτοις δὲ πολλάκις ἐκβάλλουσι τὴν αι δίφθογγον οἱ Δωριεῖς διὰ τὴν ἀνάγκην πάλιν τοῦ μέτρου· τὸ γὰρ τιθέμεναι τιθέμεν λέγουσι, καὶ ἔμμεναι ἔμμεν, καὶ τὸ τυφθήμεναι τυφθῆμεν, καὶ τἆλλα πάντα ὁμοίως, ἐπεὶ τὰ τέλη τῶν ἀπαρεμφάτων δύο εἰσὶν, ἢ τὸ ν, ὡς ἐν τῷ τύπτειν, ἢ τὸ αι δίφθογγος, ὡς ἐν τῷ τετυφέναι. αἰνῆσαί τε· συναινέσαι, καὶ ἐπαινῆσαι, κατευνᾶσαι. ἰθύνειας· κατ᾽ εὐθεῖαν ἄξον, κατ᾽ εὐκόλους ποιήσειας, κατ᾽ ὀρθὸν ἑρμηνεύσαις.

1.78 Πότνα θεά· Καλλιόπη, μοῦσα, ὦ σεβασμία μοῦσα. Τὰ ὀνόματα τῶν ἐννέα Μουσῶν καὶ ποίης τέχνης ἑκάστη ἐπιστατεῖ καὶ τίς ὁ ταύτης ἐν βίῳ ἐφευρέτης; Κλειὼ δ᾽ ἱστορίας Ἡρόδοτος, Θάλεια κωμῳδίας Μένανδρος, Μελπομένη τραγῳδίας Εὐριπίδης, Εὐτέρπη αὐλῶν Στησίχορος, Τερψιχόρη λύρας Πίνδαρος, Ἐρατὼ κυμβάλων Ἑρμῆς, Καλλιόπη ποιήσεως Ὅμηρος, Οὐρανία ἀστρονομίας Ἄρατος, Πολυυμνία γεωμετρίας Εὐκλείδης. ποτνία· σεβασμία παρὰ τὸ πέτω πετνῶ καὶ ποτνῶ· οἱ γὰρ σεβόμενοι προσπίπτουσιν οἷς σέβονται, ὅθεν ποτνιᾶσθαι τὸ προσπίπτειν τοῖς ποσὶν, κυρίως δὲ τὸ ποτνιᾶσθαι ἐπὶ γυναικῶν. πότνα θεά· γράφεται Καλλιόπη. πατέρι· Ἀντωνίνῳ. καὶ υἱέι· τῷ Ἀντωνίνῳ, Γορδιανῷ· υἱῷ παρὰ τὸ φύω φυός καὶ υἱός· γράφεται δὲ καὶ υἷις καὶ κλίνεται υἵιος καὶ κατὰ συγκοπὴν υἷος, ἡ δοτικὴ υἵι, ἡ αἰτιατικὴ υἷα, ἡ εὐθεῖα τῶν πληθυντικῶν υἷες, καὶ ἡ αἰτιατικὴ υἷας Ἀχαιῶν. παμβασιλῆος· διὰ τὴν μονοκρατορίαν εἶπε παμβασιλῆος.

1.79 Θυμήρη· εὐφραντὰ, εὐφρόσυνα, εὐάρεστα, ἄρεστα, ἐπιθυμητικῶς ἐράσμια. δῶρα· δόρπος ἡ πρὸς ἑσπέραν τροφὴ, μεθ᾽ ἣν ἐπὶ τὸ ἰαύειν ἔρπομεν, ἢ

ἀπὸ τοῦ δρέπεσθαι τοὺς πόνους, ἢ δοροπόν τι ὂν τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων. τεῆς· τῆς σῆς, τῆς ἐμῆς καὶ τῆς ἰδίας. πόρσυνον· παράσχε, εὐτρέπισον· ἐκ τοῦ πόρος πορῶ πορύνω καὶ πλεονασμῷ πορσύνω, καὶ πόρσυνον ἀντὶ τοῦ πορσύνοις, τὸ προστακτικὸν ἀντὶ εὐκτικοῦ κατ᾽ αἰολικὴν συνήθειαν. πόρσυνον ἀντὶ τοῦ παράσχοις, εὐτρεπίσαις. ἀοιδῆς· ποιήσεως, πνεύσεως.

1.80 Μυρία μὲν δὴ φῦλα· τὸ σχῆμα διάστασις, ἄπειρα. μυρία εἰσὶν αἱ δέκα χιλιάδες, μυρία δὲ τὰ ἀναρίθμητα. Μονὰς ἀπὸ τοῦ μένω μονὰς, δυὰς ἀπὸ τοῦ δύω τὸ ὑπεισέρχομαι, τριὰς ἀπὸ τοῦ τηρεῖν τὴν ἵαν καὶ μίαν, ἢ ἀπὸ τοῦ τρεῖς ἵα, τετρὰς ἑδράς τις οὖσα, πεντὰς ἀπὸ τοῦ πᾶν καὶ τοῦ ἵα καὶ μία, ἑξὰς ἀπὸ τοῦ ἐξισοῦσθαι τοῖς οἰκείοις μέρεσιν, ἑπτὰς οἱονεὶ σεπτάς τις οὖσα, διότι οὔτε γεννᾷ οὔτε γεννᾶται, ὀκτὰς ἀπὸ τοῦ ἄγειν τὴν δυάδα, ἐννὰς ἀπὸ τοῦ εἰς ἓν νεάζειν, δεκὰς ἀπὸ τοῦ δέχω, ἡ δεχομένη πάντας τοὺς ἀριθμούς. Ἐνταῦθα ἀπάρχεται τῆς διηγήσεως καί φησιν ὅτι πολλά εἰσι τὰ γένη τῶν ἰχθύων. ἄκριτα· ἀχώριστα, ἀδιαχώριστα, ἀμέτρητα καὶ ἀδιάγνωστα, πολυειδῆ.

1.81 Ἐμφέρεται· συμφέρεται, κινεῖται. δέ· δή. ἐξονομῆναι· ἔχοι, δυνηθῇ, κατ᾽ ὄνομα εἴπῃ, ὀνομαστικῶς εἴποι, ὀνομάσῃ, εἴποι ἂν κατ᾽ ὄνομα· καὶ τίς δύναται δῆλον ἅτινα οὐκ ἄν τις κατ᾽ ὄνομα εἰπεῖν;

1.82 Ἀτρεκέως· ἀληθῶς. ἀφίκετο· ἦλθε, παρεγένετο, ἐπορεύθη. τέρμα θαλάσσης· εἰς τὸ, εἰς τὴν ὑποστάθμην.

1.83 Ὀργυιέων· ὀργυιὰ ἀπὸ τοῦ ὀρούω τὸ ὁρμῶ καὶ τοῦ γυῖον ἡ χεὶρ, ἡ τῶν χειρῶν ἔκτασις καὶ ὄρεξις· γυῖα κυρίως αἱ χεῖρες, ὅθεν καὶ ὀργυιὰ ἡ ὄρεξις τῶν χειρῶν καὶ ἔκτασις. ὀργυιῶν· ἡ ἔκτασις τῶν χειρῶν καὶ τὸ πλάτος τοῦ στήθους παρὰ τὸ ὀρεῖν καὶ ἐκτείνειν τὰ γυῖα ἤως τὰς χεῖρας. Ἀλλὰ μέχρι τριακοσίων ὀργυιῶν γινώσκουσιν οἱ ἄνθρωποι τὰ μέτρα τῆς θαλάσσης. μάλιστα· καὶ τὸ περισσότερον, ἀκριβῶς.

1.84 Ἀνέρες· ἄνδρες, ἁλιεῖς. ἴσασι· γινώσκουσι καὶ εἶδον ἀπὸ τοῦ εἴδω τὸ ἐπίσταμαι, ὁ μέλλων εἴσω, ἀφ᾽ οὗ ῥῆμα περισπώμενον διὰ τοῦ ι ἰσῶ, οὗ παραγωγὸν ἴσημι, σημαίνει δὲ τὸ αὐτὸ, τῶν πληθυντικῶν τὸ πρῶτον ἴσαμεν, καὶ κατὰ συγκοπὴν ἴσμεν, τὸ δὲ δεύτερον ἴσατε καὶ ἴστε, τὸ τρίτον

ἴσασιν. ἔδρακον· κατενόησαν, εἶδον, ἔμαθον. γίνεται ἀπὸ τοῦ δέρκω τὸ βλέπω ὅσον ἔδαρκον, καὶ ἐν ὑπερθέσει ἔδρακον· συνεξακούεται τὸ γινώσκειν· πολλὰ δὲ βάθη εἰσὶν ἄγνωστα τοῖς ἀνθρώποις ἃ αὐτοὶ γινώσκουσι, διότι ἡ ἄπειρα καὶ ἄμετρα βάθη ἔχουσα θάλασσα κέκρυπται, πολλὰ δὲ κεκρυμμένα ἰχθύδια ἔχει. εἶδον· τῷ νῷ· οὐ γὰρ τοῖς ὀφθαλμοῖς. ἀμφιτρίτην· ἀμφιτρίτη ἡ ἀμφοτέρωθεν ποιοῦσα ἡμᾶς τρεῖν καὶ φοβεῖσθαι, ἢ ἡ ἀμφοτέρωθεν τῶν τριῶν στοιχείων οὖσα.

1.85 Πολλά· φῦλα, βάθη, ἰχθύδια. ἀπειρεσίη· ἡ πολλή· μεσεμβόλημα. γάρ· ἐπειδή. ἀμετροβαθής· καὶ ἄμετρα βάθη ἔχουσα, ἔχουσα βάθος ἄπειρον μὴ μέτρῳ ὑποβαλλόμενον. Ἰστέον ὅτι τὰ ἁπλᾶ διὰ τοῦ υ ψιλοῦ γράφεται, τὸ βαθὺς καὶ πλατὺς, τὰ δὲ σύνθετα διὰ τοῦ η, ὥσπερ ἐνταῦθα θάλασσα ἀμετρο ἔχομεν βαθής, ὡς ἀπλατὴς ὁ μὴ πλάτος ἔχων, τὸ οὐδέτερον τὸ ἀπλατές.

1.86 Κέκρυπται· ἀφανῆ εἰσι καὶ κρύπτει. ἀείδελα· ἀφανῆ ὄντα, ἄγνωστα ὄντα. μυθήσαιτο· εἴποι, ἐξ ὀνόματος καλέσῃ, ἐξ ὀνόματος εἴπῃ· μῦθος σημαίνει δύο, τὸν σκοτεινὸν λόγον καὶ τὸν ἁπλοῦν.

1.87 Θνητός· ἀπὸ τοῦ θανῶ θνῶ θνήσω θνητός. ὀλίγος· ἀσθενής· ὀλίγος δὲ νόος τοῖς ἀνθρώποις καὶ ἀλκὴ πρὸς τὸ γνῶναι δηλονότι τοσοῦτον βάθος τῆς θαλάσσης, τὸ δὲ δὲ ἀντὶ τοῦ γὰρ ἀττικῶς· γνώμη. μερόπεσσι· ἀνθρώποις· μέροπες οἱ ἄνθρωποι οἱ ἀπὸ τῶν ἄλλων ζώων μεμερισμένην ἔχοντες τὴν ὄπα. ἀλκή· ἰσχύς.

1.88 Οὐ μὲν γάρ· σχῆμα ἀμφιβολίας. ἔλπομαι· ἐλπίζω, νομίζω.

1.89 Παυροτέρας· ὀλιγοτέρας. ἔθνεα· πλήθη. μείονα· ἐλάττω, ἐλάττονα, οὐδὲ πλῆθος ἐλάττονα. φέρβειν· ἐλπίζω τρέφειν τῆς γῆς.

1.90 Ἀμφήριστος· ἰσοσύγκριτος, ἐξισουμένη, ἀμφίβολος, ἴση· ἀμφήριστον τὸ ἀμφίβολον καὶ ἶσον· λέγομεν οὖν ἀμφίβολον τὸ ἶσον ἀπὸ μεταφορᾶς· δύο τινῶν ἐριζόντων, ἔστ᾽ ἂν ἡ πάλη ἐστὶν ἰσοπαλὴς, ἀμφίβολός ἐστιν ὁ νικῶν· ἡνίκα δ᾽ ἂν ὁ εἷς ἡττηθῇ, τότε οὔκ ἐστιν ὁ νικῶν ἀμφίβολος. ἀμφοτέρῃσι· ἐν τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ. γενέθλη· γενεά.

1.91 Ἑτέρη· ἢ γῆ ἢ ἡ θάλαττα, καὶ ἡ μία ἤως ἡ γῆ ἢ θάλασσα. προβέβηκε· προέχει, ὑπερέχει, ἐνίκησε, νικᾷ· ἡ πρὸ ἀντὶ τῆς ὑπέρ. σάφα· σαφῶς, εὐκόλως. τεκμαίρονται· γινώσκουσιν, ἐπίστανται.

1.92 Ἀνδρομέοισι· ἀνθρωπίνοις, πρὸς ἀντιδιαστολὴν τῶν ἀλόγων ζώων· τῶν θεῶν ἐστι τὸ παρὸν γινώσκειν, τῶν δ' ἀνθρώπων πεπερασμένην γνῶσιν ἐχόντων τὸ εἰκὸς καὶ ὃ καταλαμβάνουσι πέρας ἔχειν· ἀδύνατον οὖν ἡμᾶς τοὺς ἀνθρώπους τὸ τὴν ἡμετέραν δύναμιν ὑπερβαῖνον καταλαβεῖν. μέτρα· συμμετρίαν, σταθμούς. φέρωμεν· ὦ Καλλιόπη, ἡ εὔφορος τοῦ λόγου, λέγει δὲ τὸν Ἑρμῆν εὔφορον τοῦ λόγου, ἀλλὰ σὺ δὲ, ὦ Καλλιόπη, ἡ εὐθυποιοῦσα τὰ πάντα, ποίησον καὶ τὰ ἐμὰ δῶρα τῷ βασιλεῖ εὐπρόσδεκτα, ἢ ἃς φέρομεν νοήματα πρέποντα ἀνθρώποις μὴ ὑπερβαίνοντα ἀνθρωπίνην διάνοιαν, ἤως θεϊκά.

1.93 Ἰχθύσι γάρ· ἀρχὴ διηγήσεως· διάφορα γὰρ τὰ εἴδη καὶ τὰ γένη τῶν ἰχθύων καὶ οἱ τόποι καὶ αἱ τροφαί. γάρ· μέν. γενεή· ἡ γέννησις. ἤθεα· διατριβαὶ ἰωνικῶς ὅτι ἄλλο ἄλλην δίαιταν καὶ ἄλλην διαγωγὴν ἔχει, πόρος, ὅτι ἐν διαφόροις τόποις τῆς θαλάσσης διαιτοῦνται τὰ ζῶα. Ἀποροῦσί τινες, πῶς τὰ βούβαλα εἰσερχόμενα ἐν τῇ θαλάσσῃ οὐ πνίγονται· καί φαμεν οὕτως· διὰ τὸ τὰ ὦτα αὐτῶν κεχαλασμένα ἔχειν· καὶ γὰρ οἱ ἵπποι οὐκ ἂν πλέοντες πνιγῶσιν, εἰ μὴ ἐν τοῖς ὠσὶν αὐτῶν ὕδωρ εἰσέλθῃ διὰ τὸ λαβυρινθώδη ἔχειν τὴν καὶ μὴ τὸ ὕδωρ εἰσέρχεσθαι κατ' εὐθεῖαν. πόρος· ἡ πορεία, περιφραστικῶς διατριβαὶ, ἀντισκηνώσεις.

1.94 Κέκριται· διακεχώρισται. οὐδέ τι· οὐδαμῶς. νομαί· αἱ διατριβαί. νεπόδεσσιν· ἰχθύσιν. ὁμοῖαι· καὶ ἴσοι, ἀττικόν.

1.95 Οἱ μὲν γάρ· χωρισμὸς τῶν ἰχθύων. χθαμαλοῖσι· τραφεροῖς, ἁπαλοῖς, τοῖς ἔχουσιν ὕδωρ ἐπιπόλαιον· χθαμαλὸς ὁ λεῖος τόπος παρὰ τὸ χαμαὶ χαμαλὸς, καὶ πλεονασμῷ τοῦ θ χθαμαλός. χθαμαλοῖσι· ἀβαθέσιν.

1.96 Ψάμμον· ψάμμος καὶ ἄμμος διὰ δύο μμ, ἄμαθος δι' ἑνός. ἑρεπτόμενοι· ἐσθίοντες, κυρίως δ' ἐπὶ τῶν ἀλόγων ζώων λέγεται, ἀπὸ τοῦ τῆς ἔρας ἤως τῆς γῆς ἅπτεσθαι. ὅσ' ἐν ψαμάθοισι φύονται· ὁπόσοι καὶ τὸν αἰγιαλεῖον κατοικοῦσι ψάμμον, ἤγουν τὰ βρύα.

1.97 Κόκκυγες· ἢ φιλομῆλαι. κόκκυγες αἱ φιλομῆλαι διὰ τὸ εἶναι αὐτὰς κοκκίνους, ἃς καὶ λέγουσιν εἶναι προσφιλεῖς τῶν κοκκίνων μήλων τῶν ὀπωρῶν. θοοί· σύντομοι, καὶ οἱ ταχύτατοι. ξανθοί· ἐπίθετον. ἐρυθῖνοι· λιθρινάρια, ῥούσια.

1.98 Κιθάρη· κιθάριος. ἀδρανέες· ἀσθενεῖς, οἱ λεπτοί. μελάνουροι· οἱ μοσχίται οἱ οὐροῦντες μέλαν, ἢ τὰ καλαμάρια.

1.99 Τραχούρων· ὅμοια πηλαμύσιν, καὶ τῶν τριχαίων. ἀγέλαι· ποίμνια. βούγλωσσοι· τὰ λεγόμενα βοϊδόγλωσσα. πλατύουροι· ψησσία, πλατεῖς.

1.100 Ταινίαι· ζαργάναι. Ταννύαι ἀπὸ τοῦ τανύω τὸ ἐξαπλῶ· καὶ γὰρ αὗται μακραί εἰσιν. ἀβληχραί· ἀσθενεῖς ἀπὸ τοῦ ἀβάλλεσθαι ἢ ξηραίνεσθαι τὴν χροιάν. αἰόλος· κατάστικτος, καὶ ποικίλος, ἢ ταχύς· τὸ αἰόλος Ὅμηρος ἐπὶ τοῦ ταχυτάτου εἶπεν· αἰόλος ἢ διὰ τὸ διάφορον καὶ ποικίλον χρῶμα ἔχουσιν, ἢ διὰ τὸ ἔχειν κέντρον καὶ εἰς θάνατον ἄγειν καλεῖται αἰόλος. αἰόλος· διὰ τὸ ἔχειν κέντρον θανατηρόν.

1.101 Κυπρῖνοι· κυπρῖνος ἀπὸ τοῦ κύειν τὸν χρόνον πέντε γεννήσεις. οἳ φίλοι· ὑπάρχουσιν κατὰ παράλληλον.

1.102 Τενάγεσσιν· ἐν καθύγροις τόποις, βορβορώδεσιν, οἵτινες ἔχουσιν ἐπιπόλαιον ὕδωρ, καθύγροις τόποις, τοῖς ἐν τῷ πελάγει βορβόροις παρὰ τὸ κτεῖναι ἅμα. τενάγεσσι· πλατείαις βαθέσι πελάγεσι παρὰ τὸ τείνειν ἔξω τὸ ἄγος ἢ τὸ μίασμα· ἢ παρὰ τὸ τέγγω τὸ βρέχω τέγγανος, καὶ ἐν ὑπερθέσει τέναγος ὁ ὑπόβροχος τόπος· ἢ παρὰ τὸ τείνειν ἔξω τὸ ἄχος. τενάγεσσιν· πελάγεσιν· τέναγος ὁ πηλώδης τόπος ἔχων ὕδωρ βραχὺ ἐπιπολάζον.

1.103 Βατίδες· βάτοι. ὑπέροπλα· ὑπερήφανα, τὰ ἀλαζονικὰ, περίφρασις, τὰ μεγάλα. Οὗτος ὁ ἰχθὺς οὐχ ὅτι μέγας ἐστὶ μόνον καὶ πλατὺς λέγεται ὑπερήφανος, ἀλλ’ ὅτι καὶ πολλοὺς ἄνδρας φονεύει, καὶ μάλιστα τοὺς δύτας· ἐπὰν γὰρ ἕνα θεάσηται δύνοντα, παραχρῆμα νήχεται κατὰ τῆς κεφαλῆς αὐτοῦ ὡς πῶμα καὶ οὐκ ἐᾷ τοῦτον ἀναβῆναι καὶ τούτῳ τῷ τρόπῳ ἀποπνίγει αὐτόν.

1.104 Ἀργαλέη· λυπηρὰ, χαλεπὴ, θανατηρὰ, ἡ πάντα ποιοῦσα ναρκᾷν, ἂν λεληθότως ἐφάψηται. ἄλλως· ἀργαλέη ἡ χαλεπὸν τὸ κέντρον ἔχουσα, καὶ θανάσιμον, καὶ δηλήσιμον πάντων ἀνδρῶν τε καὶ ἰχθύων καὶ φυτῶν ζῶσα καὶ φονευθεῖσα. ἐτήτυμον· ἀληθὲς, καὶ ἀλήθειαν ἔχουσα· ἐτήτυμον τὸ ἀληθὲς ἐκ τοῦ ἔτυμος καὶ πλεονασμῷ τοῦ τ καὶ η ἐτήτυμον. Ὥσπερ ἀπὸ τοῦ τίθημι θετὸς, καὶ ἐκ τοῦ δίδωμι δοτὸς, οὕτω καὶ ἀπὸ τοῦ εἰμὶ ἐτὸς, ὁ ὢν ἀληθῶς· πάλιν ἀπὸ τοῦ ἕλος ἕλυμος, οὕτως καὶ ἀπὸ τοῦ ἐτὸς ἔτυμος καὶ κατ᾽ ἀναδιπλασιασμὸν ἐτήτυμος, ὥσπερ ἄτηρος, ἀτάρτηρος, ἕλυμος δὲ βοτάνη ἡ ἐν ἕλει φυομένη. οὔνομα· τὸ ἐπώνυμον.

1.105 Ψῆτται· ψησσία, κλαρίαι· ἰχθύες καὶ οὗτοι. ἔργα· μεγέθη, γένη, πλήθη, αἱ διατριβαί. ὀνίσκων· ἀειδάρων. ἔργα τ᾽ ὀνίσκων· ἤγουν οἱ ὀνίσκοι, περίφρασις.

1.106 Σαῦροι· σαυρίδες. σκέπανοί τε· κόπανοι. τέτροφε· τρέφονται.

1.107 Θῖνα· αἰγιαλόν. θῖνα δ᾽ ἀνά· ἀν᾽ αἰγιαλόν, κατὰ τὸν αἰγιαλόν· θετικὸν, οἷον·
ἐκβάντες ἐπὶ θῖνα.
γίνεται δ᾽ ἐκ τοῦ θείνω τὸ τύπτω, τοῦτο δὲ σημαίνει δύο, τὸ φονεύω καὶ τὸ τύπτω, εἰς ὃν ἐκκρούουσι τὰ κύματα· θῖνα καλεῖ τοὺς βρυώδεις τόπους, τοὺς ἔχοντας δηλονότι βρύα χλωρά. πρασόεσσαν· τὴν βοτανώδη, χλοερὰν, τὸν πρασώδη αἰγιαλὸν ὑποκάτω τῶν χλωρῶν βοτανῶν. χλωραῖς· παρὰ τοῦ χαλῶ καὶ τοῦ ὥρα ἡ εὐμορφία χαλάωρος καὶ χλωρὸς, ὁ κεχαλασμένην ἔχων τὴν χρόαν. βοτάνῃσι· παρὰ τὸ βίᾳ τείνεσθαι ἤως αὔξειν.

1.108 Μαινίδες· σμαρίδες, ἰσμαρίδες. ἰδέ· ἰωνικὸν διὰ τοῦ ι, ἠδὲ ἀττικόν.

1.109 Σκάρος· γράφεται σπάρος. ἀμφότεροι· οἱ μεγάλοι καὶ οἱ μικροὶ, ἢ τὰ δύο γένη τῶν βωκῶν, ἤγουν οἱ μεγάλοι καὶ οἱ μικροὶ βάτραχοι.

1.110 Βῶκες· βοῦπες, βάτραχοι, οἱ βοῦπαι· βῶξ λέγεται διὰ τὸ μόνος τῶν ἰχθύων φωνὴν ἀφιέναι, οἷον βόαξ βῶξ. φίλον· προσφιλές. πράσον· βοτάνους, βοτάνη ἀμφὶ τὸ βρύον. ἀμφινέμεσθαι· βόσκεσθαι, ἐσθίειν.

1.111 Κεστρέες· γυλάρια, τὰ μεγάλα γυλάρια ἢ γοφάρια. τό· οὐκ ἐσθίει ὁ κεστρεὺς ἄλλον ἰχθύν. Δικαιότατον γένος λέγει τὸν κέφαλον, καθὸ τῶν ἄλλων ἰχθύων τῶν ἐσθιόντων σάρκας αὐτὸς μόνος οὐ πλησιάζει σαρκί. Λέγει, ὅτι οἱ κεστρεῖς καὶ αἱ λάβρακες μόνον ποταμοῦ καὶ θαλάσσης διαιτῶνται.

1.112 Λάβρακες· ἀπὸ τοῦ λίαν ὄντες βοροὶ καὶ λαίμαργοι. ἀμίαι· γόμφοι, τὰ γομφάρια, οἱ μεγάλοι γόμφοι, οἱ ἀναιδεῖς. θρασύφρονες· τολμηροὶ ἐν τῷ δάκνειν δελφῖνας, ἄτακτοι, καὶ θρασεῖαι, ἀπότολμοι, σύντομοι εἰς τὸ δάκνειν. Ἐκ τοῦ θέρω κοινῶς θέρσω, αἰολικῶς θερσὺς καὶ ἐν ὑπερθέσει τοῦ ρ θρασὺς κατὰ τροπὴν τοῦ ε εἰς α· τὰ γὰρ ἀμετάβολα ἄτρεπτα ὄντα καὶ οἱ Αἰολεῖς ἐπὶ τοῦ μέλλοντος εἰς σ τρέπουσιν, οἷον κρίνω, κρίσω, θέρω θέρσω θερσὺς καὶ θρασύς.

1.113 Γόγγροι· τὰ γογγρία· ἐτυμολογοῦνται ἀπὸ τοῦ γρῶ τὸ ἐσθίω· γρῶ γράος καὶ γόγγρος, γράοι καὶ γόγγροι. ὄλισθον· γλίσχρος γάρ ἐστιν, γλανεόν.

1.114 Γείτονα· ἀπὸ κοινοῦ, τὸν γείνα, γείτονα τῶν ποταμῶν. Τὴν γείτονα τοῦ ποταμοῦ καλεῖ θάλασσαν, τουτέστι τὸν αἰγιαλόν. ναιετάουσιν· κατοικοῦσιν, ποταμὸν, λίμνην, ἢ αἰγιαλόν. θάλασσαν· τουτέστι τὸν αἰγιαλόν.

1.115 Λίμναις· ἀπὸ τοῦ λίαν μένειν. ὅθι· ὅπου, ὅποι τῆς γῆς ἀντὶ τοῦ ἐν ᾗ ἂν γῇ· οὕτως καὶ ὅθι τῆς ἅλμης αὐτοῦ, ἐν ᾗ ἂν ἅλμῃ ἐκβάλλεται τὸ λαρὸν τοῦτο, τὸ γλυκὺ ὕδωρ. λαρόν· ἐπιθυμητὸν, ἡδὺ, τὸ γλυκύ. μεταπαύεται μεταβάλλεται, μετατρέπεται, κεῖται, εἰσβάλλεται, λήγει.

1.116 Πρόχυσις· ἐπίχυσις, ὕλη ἡδύτητος, ἐπισώρευσις, ἐπίρρευσις, ῥεῖθρον, πλῆθος, ἔκχυσις. συμβάλλεται· συνάγεται, μίγνυται. ἰλυόεντα· συρφετώδης, βορβορώδης· ἰλὺς λέγεται ὁ πηλώδης καὶ κάθυγρος τόπος, καὶ ἡ ὑπόστασις τῶν ὑδάτων· ἀπὸ τοῦ ἕλη γίνεται ἑλύω, εἶτα ῥηματικὸν ὄνομα ἰλὺς, ὡς τὸ πείθω πιθανός. τελματώδης· ἐν τῇ προχύσει τῇ ἰλυοέσσῃ.

1.117 Ἑλκομένη· φερομένη, συρομένη. δίνῃσιν· συστροφαῖς ὀξείαις, τοῖς ῥεύμασιν. χθονός· τῆς γῆς. ἔνθα· ὅπου, ἐκεῖ.

1.118 Φορβήν· τροφήν. ἱμερτήν· ἐπιθυμητὴν, ἐρασμίαν, γλυκεῖαν.

1.119 Οὔτ'· οὐδαμῶς. αὐτῶν· ἀπό. ἀπολείπεται ἔξω· ἀναστροφή.

1.120 Ἐς προχοάς· εἰς τὰ χείλη τοῦ ποταμοῦ, προχύσεις, εἰς τὰ χείλη τοῦ ποταμοῦ καὶ τῆς θαλάσσης, ἴσως ... τὰς χύσεις, τὰ ῥεύματα τοῦ ποταμοῦ δῆλον. ἀνανήχεται· ἀναπλέει, ἄνω πλύνει ... , καταλιμπάνει· τὰς ἐγχέλυάς φησιν ὁ ποιητὴς ἐκ τῶν ποταμῶν ἀναστείχειν εἰς τὴν θάλασσαν. ἐγχέλυες· ἀπὸ τοῦ ἔχεσθαι ἐν τῇ ἰλύι. Ἐτυμολογοῦνται ἀπὸ τοῦ ἔχεσθαι ἐν ἰλύι, ἢ ἀπὸ τοῦ ἔχεσθαι ἐν τῇ λίμνῃ.

1.121 Πλαταμῶσιν· αἰγιαλοῖς, καθύγροις τόποις, πέτραις, ταῖς πλατείαις πέτραις, καθύγροις τόποις ἐνὶ τοῖς αἰγιαλοῖς· ἐν ὑγροῖς τόποις· πλαταμῶνες κυρίως εἰσὶ βόθροι ἔχοντες ὕδωρ ὄμβριμον, οἵτινες πλησιάζουσι τῇ θαλάσσῃ, καὶ ὅταν πεφυσιασθῇ ἡ θάλασσα, δέχονται καὶ ἁλμυρὸν ὕδωρ. Πλαταμῶνες οἱ αἰγιαλοὶ λέγονται, ὅπου τὸ ὕδωρ ἅπαξ ἐκ μιᾶς προσελθὸν ξηρὸν αὐτὸν ἀφίησιν. χρίπτουσι· προσεγγίζουσιν, ἐγχρίμπτουσιν, πλησιάζουσιν.

1.122 Ἀμφίαλοι· ἀμφοτέρωθεν κλυζόμεναι, ἀμφοτέρωθεν ὑπὸ τῆς ἁλὸς κυκλούμεναι, περίρρυτοι· διάφοροι γάρ· ἔχουσαι ἀμφοτέρωθεν θάλασσαν, ἤως αἱ ὑπὸ θαλάσσης καλυπτόμεναι· ἀμφίαλος ἡ θαλασσία πέτρα ἡ ἀμφοτέρωθεν ἔχουσα τὸ ὕδωρ. πολυειδέες· ποικίλοι. αἱ μέν· πλαταμῶνες. ἔασι· εἰσιν· διάλυσις ἰωνική.

1.123 Φύκεσι· βρύοις· φῦκος τὸ φυκάριον, ἐν ᾧ αἱ γυναῖκες ἀλείφονται, ἢ τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. μυδαλέαι· περισκεπεῖς, βεβρεγμέναι, διάβροχοι, κατάβροχοι· μυδῶ τὸ βρέχω. Μυδαλέοι δὲ δίυγροι, καὶ τῶν φυκίων τουτέστι τῶν βοτανῶν. μνία· βρύα· μνία δὲ τὰ μικρὰ βρύα, τὰ ἐπικείμενα ταῖς θαλασσίαις πέτραις. πέφυκε· ὑπάρχει, ἀναβλαστάνει, καὶ πεφύκασιν.

1.124 Τάς· ταύτας, πέτρας, τὰς βοτάνας, εἰς ἃς δή. ἤτοι· μὲν, ἤως· γράφεται καὶ ᾖθι. ἀμφί τε· σὺν τούτοις, περὶ ἅς.

1.125 Φέρβονται· τρέφονται, ἐσθίουσιν. μετά· ἀντὶ τοῦ σύν. σφίσιν· τούτοις. αἰολόνωτοι· ποικιλόνωτοι, ποικιλόραχοι, ποικίλοι.

1.126 Ῥαδιναί· αἱ λεπταὶ, ἁπαλαί. ῥαδινόν· τὸ λεπτόν. κυφίδες· ληπῖναι, ῥούδια. φυκίδες· αἱ λαπίναι. Τοῦτο δ’ εἶπε σκώπτων τὸν γυναικώδη. Φυκίδας εἶπεν ἐνταῦθα ὁ ποιητὴς, θέλων λοιδορῆσαί τινα εὐνοῦχον φυκαρίζοντα τὰ παρειὰς αὐτοῦ, ἦν δ’ ὁ εὐνοῦχος οὗτος ὃν λοιδορῆσαι θέλει ὁ ποιητὴς, ὡς ἔοικεν, ὁ καταλαλήσας τὸν Ἀγησίλαον τὸν πατέρα τοῦ ποιητοῦ εἰς τὸν βασιλέα Σεβῆρον, ὡς εἴπομεν, ὅτι κατεφρόνησεν ὁ Ἀγησίλαος ἐξελθεῖν εἰς συνάντησιν τοῦ βασιλέως, ἅτε ζῶν φιλοσόφως καὶ καταφρονῶν τὰ πάντα. ἄσθ’· ἅτινα.

1.127 Ἀνδρὸς ἐπωνυμίην θηλύφρονος· ὀνομασία εὐνούχου ἀσθενοῦς· ἐνταῦθα λοιδορεῖ τινα εὐνοῦχον ὁ ποιητὴς, φυκαρίζοντα τὰς παρειὰς αὐτοῦ, καταλαλήσαντα Ἀγησιλάου πρὸς τὸν βασιλέα Σεβῆρον. τοῦτο δ’ εἶπεν εἴς τινα ἀποσκοπῶν γυναικειώδη παῖδα. ἐπωνυμίην· ὀνομασίαν. θηλύφρονος· εὐνούχου, ἀσθενοῦς. ηὐδάξαντο· εἶπον, ὠνόμασαν.

1.128 Ἄλλαι· πέτραι. χθαμαλαί· βαθεῖαι. χαμηλαί· κοῖλαι, ταπειναί. ψαμμώδεος· τῆς ἐχούσης ψάμμον πλησίον, ὑπὸ τῆς ἐχούσης ἄμμον. εἰσί· γράφεται ἄγχι, ἤως πλησίον. ἄγχι· καὶ πλησίον εἰσίν.

1.129 Λεπράδες· ὀστρώδεις, ὀστρειώδεις, τραχεῖαι, διεσχισμέναι πέτραι, ἐρρυπωμέναι. ἅς· εἰς. σκίρρις· καλούμεναι λεπιδυταὶ, ἡ ὕσκας. σύαινα· ἤως ἴσκαι, ἢ συάκιον, ἡ χοιρίλλα. βασιλίσκοι· σκιρίδια.

1.130 Ἐν δέ· σὺν τούτοις δὲ, ἐν τούτοις δὲ, σὺν ταύταις. μύλοι· μυλοκόπια, μυλοκόποι. φῦλα· γένη· τρίγλης τε ῥοδόχροα φῦλα· καὶ ἡ τρίγλα, τὸ δὲ σχῆμα περίφρασις. Περίφρασίς ἐστιν ἡ περισσὴ φράσις, ἔκφρασις δ’ ἡ κατὰ λεπτὸν ἀφήγησίς τινων πραγμάτων, ἀντίφρασις ἡ ἐναντία φράσις, ὡς τὸ εἰπεῖν τὸ γλυκὺ πικρὸν καὶ τὸ ὄξος γλυκάδιον, παράφρασις δ’ ἡ τῶν λέξεων ἀλλοία διήγησις, ὡς τὸ μῆνιν εἰπεῖν ὀργὴν καὶ τὸ ἄειδε ἀντὶ τοῦ λέγε.

1.131 Ἄλλαι· πέτραι. ποίῃσιν· βοτάναις. ἐπίχλοοι· βοτανώδεις, ἐσκεπασμέναι οὖσαι, βοτανώδη ὑπάρχουσι. ὑγρά· κατὰ, περίφρασις, κατὰ τά. μέτωπα· τὴν ἐπιφάνειαν, καὶ τὴν ὄπιν καταχλοαζόμεναι, κατὰ τὰ ὑγρὰ μέτωπα, ἤτοι κατὰ τὰ ἐπιφερόμενα πρόσωπα τὴν ὑγρότητα, ὑγρὸν δ’

ἐτυμολογεῖται ἀπὸ τοῦ ὕω τὸ βρέχω ὕσω ὑρὸν, καὶ πλεονασμῷ τοῦ γ ὑγρόν.

1.132 Σαργόν· ἰχθὺν, κιθαργόν. ἐφέστιον· ἐγκάτοικον, ἔνοικον, ἔποικον, σύνοικον. σκίαιναν· καὶ τὴν σκίνναν λέγει.

1.133 Χαλκέα· χαλκίτην, ὄνομα ἰχθύος, κορακῖνον, τὸν κορακῖνον τὸν ἔχοντα τὸ εἶδος μέλαν κατὰ τὸ ὄνομα αὐτοῦ, κορακῖνος δ' ἐτυμολογεῖται ἀπὸ τοῦ κινεῖν τὰς κόρας ἤτοι τοὺς ὀφθαλμούς. ἐπώνυμον· κατὰ τὸ ὄνομα ὅμοιον καὶ ἡ χροιὰ, τὸν ὅμοιον ἐκ τῆς μελαίνης χλόας ὀνομαζόμενον. αἴθοπι· μελαίνῃ, μέλανι. χροιῇ· τῇ ὄψει.

1.134 Καὶ σκάρον· μετάκλισις. ὃς δὴ μοῦνος· ὅτι μόνος ὁ σκάρος τῶν ἰχθύων φθέγγεται καὶ μόνος τὴν τροφὴν πρόεισιν ἐκ δευτέρου. Λέγει ὅτι μόνος ὁ σκάρος τῶν ἰχθύων λαλεῖ καὶ μόνος αὐτὸς τὴν τροφὴν ἐκ δευτέρου φέρει, προΐησι καὶ ἀναπτύει ἐν τῷ στόματι ἐκ τῆς γαστρός. μοῦνος· ἰωνικῶς. ἀναύδοις· ἀφώνοις· ἄναυδος ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ αὐδῶ τὸ λέγω.

1.135 Φθέγγεται· βοᾷ. ἰκμαλέην· δίυγρον. ἰκμαλέαν· γαργαλίζουσαν, ἰσχνὴν, δίυγρον· ἰκμαλέην λαλαγὴν τὴν δίυγρον λέγει βοήν· ἰδιοπεποίηται αὕτη ἡ λέξις καὶ ἰδιάζει τῇ λέξει. ἐδητύν· τροφήν.

1.136 Ἄψορρον· ὀπισθόρμητον ἀπὸ τοῦ ἂψ ὀρούειν. προΐησιν· φέρει. πέμπει· προπέμπει. ἀνά· εἰς. ἀνὰ στόμα· ἔξω τοῦ στόματος. αὖτις· Ἰώνων.

1.137 Δαιννύμενος· εὐωχούμενος, ἐσθίων. μήλοισιν· προβάτοις, μήλων. ἀναπτύων· ἀνεξερῶν, ἀναπεμπόμενος, ἀνεμέσων, ἀναπέμπων κατὰ μηρυκασμὸν, καὶ ἀναπίνων. ἶσα· ὁμοίως.

1.138 Ὅσσαι· πέτραι. χήμῃσι· ὀμυδίοις, χηβαδίοις, ὀστρέοις. περίπλεοι· περιπληθεῖς, πεπληρωμένοι. λεπάδεσσιν· ὀστρέοις· λεπάδες εἰσὶ ζῶα ἐλάττονα τῶν ὀστρέων, ἅ φασι πατελίδας· λεπάδας τὰ κοχλάδιά φησι, τὰ κεκολλημένα ταῖς πέτραις, ἅ φασιν οἱ πολλοὶ πεταλίδας, τὰ κεκολλημένα ὄστρεα τοῖς λεπάδεσσιν. λεπάδεσσι· καὶ κολλιδίοις, ἃς λέγει πεταλίδας, ἢ λεπίσι ὀστρέου. λεπὰς εἶδος ὀστρέου.

1.139 Ἐν δέ σφισι· ἐν τούτοις, ἐν δ᾽ αὐταῖς, ἐν αὐταῖς δῆλον ταῖς πέτραις. θάλαμοι· κοιτῶνες, φωλεοί. Θάλαμος, μέλαθρον, καὶ μέγαρον διαφέρει· ὁ θάλαμος ἀπὸ τοῦ θάλλειν ἅμα τοὺς δύο νεονύμφους, ὃν λέγομεν παστὸν, ἢ θαλαμὸς ποταμός τις ὢν παρὰ τὸ θάλπειν, μέλαθρον δ᾽ ἀπὸ τοῦ τὸν αἰθέρα μελαίνειν, κυρίως τὸ μαγειρεῖον, μέγαρον δὲ τὸ παλάτιον καὶ πᾶν οἴκημα ὑψηλὸν ἀπὸ τοῦ μέγα καὶ πολὺ αἴρεσθαι καὶ ὑψοῦσθαι. αὔλια· καὶ κατασκηνώσεις, καὶ κοιλώματα. δύμεναι· ὥσθ᾽ ὑπεισελθεῖν, εἰσέρχονται, καὶ εἰσέρχεσθαι.

1.140 Ἀναιδέες· θρασεῖς, ἀναίσχυντοι. ἀγριόφαγροι· διωξίφαγροι διὰ τὸ κινεῖσθαι ταχέως.

1.141 Κέρκουροι· κουτζουρίναι. μένουσι· κατοικοῦσιν. ὀψιφάγοι· αἱ τὰ ὀψάρια ἐσθίουσαι. ἀνιγραί· ἐπίπονοι, ἀνίαν καὶ λύπην ἐμβάλλουσαι τῇ ἄγρᾳ· δυσκόλως γὰρ ἀγρεύονται διὰ τὸ ὀλισθηρόν. ἀνιγραί· ἀσθενεῖς. Ἀνιγραὶ ἀντὶ τοῦ ἐπίπονοι καὶ ὀξεῖαι κατὰ τὸ σῶμα καὶ ἰσχναὶ, αἳ ἐσθίουσι τὰ ὀψάρια· ἀνιγρὸν τὸ ἀσθενὲς καὶ οἷον τεθνηκὸς, ὡς ἐστερημένον ζωτικῆς ὑγρότητος, τροπῇ τοῦ διχρόνου εἰς δίχρονον. Γράφεται ἀνιεραὶ ἤως λυπραὶ, λυπηραί.

1.142 Σκόμβροι· σαῦροι. ὀψιμόρων· βραδέως θνησκόντων· ὁ γὰρ ὀρφὸς ἀγρευθεὶς καὶ κατακοπτόμενος οὐκ εὐθέως ἐκπνεῖ, ἀλλ᾽ ἀναπηδᾷ, ὀψὲ καὶ μόλις θνῆσκον. ὀψίμορος· ἀργοθάνατος. ὀψίμορον γένος ὀρφῶν· διότι βραδέως ἀποθνήσκουσιν οἱ ὀρφνοὶ ἀγρευθέντες καὶ ἐπὶ τῆς γῆς ἐκβληθέντες οὐκ εὐθέως ἐκπνέουσιν, ὡς καὶ ἄλλοι ἰχθύες, ἀλλὰ καὶ κατακοπτόμενοι τῷ σιδήρῳ ἔτι σκαίρουσι καὶ πηδῶσιν.

1.143 Οἳ· οἱ ὀρφανοὶ δῆλον. πάντων· τῶν ἰχθύων. περίαλλα· πέρι τῶν ἄλλων, περισσοτέρως, περισσότερον. δηθύνουσι· βραδύνουσι, χρονίζουσιν.

1.144 Ζωοί· οἱ ζῶντες. τμηθέντες· κοπέντες, διασχισθέντες. σπαίρουσι· πηδῶσι, ψυχορραγοῦσιν· σπαίρω ὡς ἀσπαίρω τὸ αὐτὸ ἐπὶ τῆς ἀτάκτου κινήσεως, σκαίρω ἐπὶ τῆς εὐτάκτου καὶ εὐρύθμου.

1.145 Ἐν βένθεσιν· ἐν βαθέσιν. ὑπόβρυχα· ἐν τῷ βυθῷ, ὑποκάτω τοῦ βυθοῦ, ἤγουν ἐν τῷ κατωτάτῳ μέρει τῆς θαλάσσης. μιμνάζουσι· μένουσιν,

ὑπάρχουσι, καρτεροῦσιν.

1.146 Φωλειῇς· ἐν ταῖς φωλειοῖς, ἐν φωλεαῖς. Φωλεὰ παρὰ τὸ ἀπολωλεκέναι τὸ φῶς. πρόβατοί τε καὶ ἵπατοι· εἴδη ἰχθύων λέγω· ἐντεῦθεν καὶ πρόβασις ἡ περιουσία. πρέποντες· ὄνομα ἰχθύος.

1.147 Ἴφθιμοι· ἰσχυροί· ἴφθιμον τὸ ἰσχυρὸν, καὶ ὁ μὲν Ἡρόδοτος σύνθετον αὐτὸ λέγει, οἱ δὲ λοιποὶ διισχυρίζονται λέγοντες αὐτὸ ἁπλοῦν εἶναι· ὥσπερ γὰρ γίνεται παρὰ τὸ πρωΐ πρώιμος, καὶ παρὰ τὸ ὀψὲ ὄψιμος, οὕτω καὶ παρὰ τὸ ἶφι ἴφιμος, καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος, ἢ ἀπὸ τοῦ ἶφι καὶ τοῦ θυμὸς κατὰ τροπὴν τοῦ διχρόνου εἰς δίχρονον. φυήν· ἡλικίαν, κατὰ τὴν ἔκτασιν τοῦ σώματος. φυήν· μελοθεσίαν, τὸ σῶμα λέγει. νωθροί· βραδυκίνητοι γὰρ, ῥᾴθυμοι ἀπὸ τοῦ νω σπερητικοῦ μορίου καὶ τοῦ θορῶ οἳ ἐν τῇ ὁδῷ βραδυκίνητοί εἰσιν. κέλευθα· κατὰ, κατὰ τὰς ὁδοὺς, κατὰ τὰς πορείας. νωθροὶ δὲ κέλευθα· βραδέως εἰλοῦνται ἐν τῇ πορείᾳ, ἐπειδὴ βραδυκίνητοί εἰσιν· κέλευθος ἀπὸ τοῦ ἐλεύθω ἔλευθος καὶ πλεονασμῷ τοῦ κ κέλευθος, νωθροὶ δ’ ἀπὸ τοῦ νω στερητικοῦ μορίου καὶ τοῦ θορῶ τὸ πηδῶ νωθορὸς καὶ νωθρός.

1.148 Εἰλεῦνται· δωρικῶς καὶ αἰολικῶς, καὶ κινοῦνται, συστρέφονται. τό· διὰ τοῦτο, διό. χαράδρην· σπήλαιον ἀπὸ τοῦ κεχαραγμένην εἶναι, τὸν φωλεὸν, οἰκίαν, ὅ ἐστι διεσχισμένος τόπος, κυρίως ὁ τράφος. Χαράδραν τὸ σπήλαιον λέγει παρὰ τὸ κεχαραγμένην καὶ ἀγρίαν εἶναι ἐκείνων τὴν κοίτην καὶ τὸ σπήλαιον.

1.149 Αὐτοῦ· ἐκεῖ, καὶ ἐκεῖσε. λοχόωσι· ἐνεδρεύουσι, μένουσιν. παραί. παρὰ, αἰολικὸν διὰ τὸ μέτρον. μυχόν· φωλεόν. κε· ἄν.

1.150 Χειροτέροις· μικροτέροις, ἀσθενεστέροις, τοῖς ἐλάττοσιν. ἀΐδηλον· ἀφανῆ. ἀΐδηλον· καὶ ἀφανείας ἐμποιητικὸν θάνατον, ἐστὶ δὲ τοῦτο ἀλλοπαθές. ἐπ’ ἰχθύσι· κατ’ ἰχθύων. πότμον· θάνατον. Πότμος παρὰ τὸ ποτιγίνεσθαι τὴν μετάθεσιν, ἢ παρὰ τὸ πότω ποτῶ γίνεται πότος καὶ πλεονασμῷ τοῦ μ πότμος, σημαίνει δὲ τρία τὸν θάνατον, τὴν τύχην καὶ τὴν ἐσχάτην σύμπτωσιν τοῦ βίου. ἄγοντες· ἐπιφέροντες.

1.151 Ἐν καί· σὺν, ὑπερβατὸν κατὰ λέξιν, σὺν ἐκείνοις. ἔνθα· ὅπου. κείνοις ἐναρίθμιος· οἷς εἴπομεν, ἰσάριθμος αὐτοῖς, ἐνεκάτικος. πέρι πάντων· περισσότερον πάντων, ἤως ὁ ὄνος τῶν ἰχθύων περισσότερος, τῶν ἰχθύων δῆλον.

1.152 Πτήσσει· φοβεῖται. ὀπωρινοῖο· θερινοῦ, τοῦ ἐν τῷ θέρει φαινομένου, ἤως τοῦ κυνάστρου. Ὀπωρινοῖο κυνὸς εἶπεν ὁ ποιητὴς, ὅτι ὁ κύων ἐστὶν ὁμώνυμος φωνὴ, οἷον ὅτι ἔνι κύων χερσαῖος, κύων θαλάσσιος καὶ τὸ ἄστρον αὐτὸ, ὅπερ ἔνι κατὰ τὸν ὀπωρινὸν καιρὸν ἤως τὸ θέρος, ὅτε καὶ οἱ κύνες οἱ χερσαῖοι λυσσῶσιν· καὶ ὧδε μὲν τὸν κύνα ἄστρον εἶπεν, ὅτι κατὰ τὸν καιρὸν, ὃν ἐξελλάμπει οὗτος, ἔνι σφοδρότατα καύματα φλογερὰ, καὶ ὡς ὢν ὁ ὄνος θαλάσσιος λεπτὸν δέρμα ἔχων φοβεῖται, μήπως ἐξελθὼν ἐπάνω τῆς θαλάσσης καυθῇ, καὶ ὑπεισέρχεται ἔνδον τοῦ βυθοῦ, καὶ κεῖται ἐκεῖ ὅλον τὸν ὀπωρινὸν καιρὸν, μέχρις ἂν παρέλθῃ ὁ κύναστρος, ἐν δὲ τῷ φθινοπώρῳ ἐξέρχεται. Μὴ θαυμάσῃς, ὅτι ἐστὶν ὄνος ἐν τῇ θαλάσσῃ· τὰ ζῶα τὰ τῆς γῆς ὅλα ἔχει αὐτὰ ἐπώνυμα καὶ ἡ θάλασσα. δριμεῖαν· τὴν ἀγρίαν, καυστικὴν, τὴν ἀγριωτάτην, μεγάλον. ὁμοκλήν· ἀπειλὴν, ἡ ὁμοῦ κίνησις. ὁμοκλὴ ἀπειλὴ ἐκ τοῦ καλῶ, καὶ ἐν συγκοπῇ κλῶ τὸ φωνῶ· ἐκ τοῦ οὖν κλῶ καὶ τοῦ ὁμοῦ ὁμοκλὴ ἡ ὁμοῦ πᾶσι λεγομένη τοῖς τρέχουσι στάδιον, καὶ Ὅμηρος

μέγα δὲ Τρώεσσιν ἅπασιν αὐτὸς ὁμόκλα

ἀντὶ τοῦ πᾶσιν ἐπεφώνει καὶ ἔλεγεν, ὅθεν καὶ τὸ ἀντικλᾷν, ὁ δ' Ἀριστοφάνης ἀντὶ τοῦ ἀντικλᾷν λέγει τὸ ἐνικλᾷν· τὴν γὰρ ἐνὶ πρόθεσιν ἀντὶ τῆς ἀντὶ εὑρίσκομεν, ὡς παρὰ τῷ Σοφοκλεῖ ἐν Αἴαντι οἷον τὸν σὸν ἐνστάτην λέγει ἀντὶ τοῦ ἀντιστάτην.

1.153 Μίμνει· ἐπιμένει, μένει. ἐγκαταδύς· ὑπεισελθών. σκότιον· βαθύτατον, εἰς κατώτατα καὶ ἀφανῆ τόπον, σκοτεινὸν, ἀφανῆ. πάροιθεν· ἔμπροσθεν, ἔξωθεν· πάρος πάροθεν καὶ πλεονασμῷ τοῦ ι πάροιθεν.

1.154 Ἔρχεται· ἐξέρχεται. ἄησιν· ἀναπνέει, πνέει, ἢ ἀνατέλλει, λάμπει, φαίνεται· ἄω τὸ πνέω καὶ λάμπω, ψιλοῦται, ὅθεν καὶ ἠὼς ἡ ἡμέρα. ἄησιν· ἀπὸ τοῦ ἄω τὸ πνέω ἄημι καὶ ἄημαι, σημαίνει δὲ τὸ ἀνατέλλω· ἐκ γὰρ τῶν ἀνατολῶν τοῦ κυνάστρου ὑπεκκαίεται ἡ τοῦ ἀέρος πνοὴ καὶ γίνεται φλογερά. Ἄησιν· γίνεται ἀπὸ τοῦ ἄω τοῦ πνέω ἄησιν, ἤτοι πνέει ἀντὶ τοῦ

εἰπεῖν ἀνατέλλει· δηλοῖ γὰρ τὸ ἐκ τῆς ἀνατολῆς αὐτοῦ ὑπεκκαίεσθαι τὴν τοῦ ἀέρος πνοὴν καὶ φλογερὰν γίνεσθαι. Ἄω τὸ λάμπω, ψιλοῦται, ὅθεν ἠὼς ἡ ἡμέρα, ὃ καὶ αὔω αἰολικῶς γίνεται, τοῦτο δὲ τὸ αὔω δασύνουσιν Ἀττικοὶ, καὶ προστιθέντες τὸ φ φαύω λέγουσιν, ὅθεν καὶ ἡ φαῦσις, τὸ δέ γ' ἄω αὔω αὐαίνω τὸ ξηραίνω δασύνεται παρὰ πᾶσιν, ὅθεν καὶ παρὰ τῷ κωμικῷ ἀφαυαίνειν. ἄγριος· ὁ καυματώδης, ὁ σφοδρὸς εἰς τὸ καίειν. ἄγριος ἀστήρ· ὁ καυστικὸς ἥλιος, ἤως ὁ κύναστρος.

1.155 Ἁλικλύστοισι· τοῖς ὑπὸ θαλάσσης περιαντλουμέναις καὶ κατακλυζομέναις. μεμηλώς· φροντίζων καὶ μένων, προσμένων, ἐγκείμενος, φροντίδα ἔχων, προσκείμενος. Μεμηλὼς παρὰ τὸ μέλω τὸ φροντίζω, ὁ μέσος παρακείμενος μέμελα, καὶ κατ' ἐπέκτασιν γίνεται μέμηλα, ὅθεν ἡ μετοχὴ ὁ μεμηλὼς, ἢ ἀπὸ τοῦ μεμέληκα γέγονεν μέγα πλούτοιο μεμηλώς.
ἀντὶ τοῦ πάνυ πεφροντικὼς τοῦ πλούτου καὶ ἐπιμέλειαν αὐτοῦ ἔχων.

1.156 Ἰδεῖν· καὶ κατὰ τὸ εἶδος, ἀττικόν. κεστρεῦσι· γομφαρίοις ἢ κεφάλοις. φυήν· κατὰ τὸ σῶμα. ἐναλίγκιος· ὅμοιος. Ἐναλίγκιος ὁ παρόμοιός τινι, ὁ τὴν εἰκόνα ἄλλου ἐν ἑαυτῷ φέρων· πολλὰ γάρ εἰσιν ὀνόματα ἀπὸ ῥημάτων συγκείμενα.

1.157 Μερόπων· ἀνθρώπων, ἀπὸ, τινὲς μὲν τῶν ἀνθρώπων. Μέροψ ὁ καθόλου ἄνθρωπος ἀπὸ τοῦ τὴν ὄπα καὶ φωνὴν μεμερισμένην ἔχειν· μέροψ καὶ τὸ ὄρνεον, ὅπερ, ὥς φησιν Αἰλιανὸς, εἰς τοὐπίσω ἵπταται, ἐστὶ δ' ὁ φλῶρος. ἕτεροι· τινές. Τὸ ἕτερον ἐπὶ τῶν ὁμοειδῶν ἐπὶ δύο λαμβάνεται, οἷον ἡ ἑτέρα τῶν χειρῶν πάσχει τόδε τι νόσημα, ἡ ἑτέρα δὲ τόδε τι, ἐπὶ δὲ τῶν ἑτεροειδῶν ἐπὶ πλήθους· διὰ τοῦτο καὶ ἐπὶ τὸ πρὸς τύπους λεγόμενον οὐχὶ τὸ ἕτερον ἔχει, ἀλλὰ τὸ ἄλλο, ὡς Ὅμηρος ἐπικλείουσιν· ὀνομάζουσι, φημίζουσι, καλοῦσιν.

1.158 Ἐξώκοιτον· ἔξω κοιμώμενον, ἐξωμονίτην. ἐφήμισαν· ὠνόμασαν. οὕνεκα· διότι, ἑφερμηνευτικόν. κοίτας· φωλεὰς, στρωμνάς.

1.159 Τίθεται· ποιεῖ. μοῦνος· τῶν ἰχθύων. Ὅτι ἔξω τῆς θαλάσσης κοιμᾶται, ἐκ πάντων οὗτος ὁ ἰχθὺς ἀμφίβιός ἐστιν, ἐφ' ὅσοις δὲ βραγχηφόροις, ἐκ τούτων οὗτος μόνος ἔξω κοιμᾶται, βράγχη δὲ καλοῦνται τὰ τριχοειδῆ

ἐκεῖνα τὰ ὄντα ἔξωθεν τῶν στομάτων, ἅτινα ἔχει καὶ ὁ σίλουρος καὶ ὁ φάγρος· ἀμφίβιος γάρ ἐστιν. ἀμείβει· ἔρχεται, διέρχεται, ἀντικαταλλάσσεται, περιποτοῦ.

1.160 Ὅσσοι· λείπει ἀπὸ τῶν ἰχθύων. βράγχη· βρόχια, σπάραγχνα, τριχώματα, καλύμματα, ἀττικὴ ἡ σύνταξις· ἀντὶ τοῦ εἰπεῖν πτυχῶν λέγει πτύχας· συντάσσεται καὶ κατὰ τὰς πτύχας. ἀμφίς· ἀμφοτέρωθεν, ἀμφὶ τὰ χείλη.

1.161 Εὖτε· ὁπηνίκα, ὅτε, ἡνίκα, ὁπότε. εὐνήσῃ· πραΰνῃ, κατ᾽ εὐφημισμὸν, καταπραΰνῃ, κοιμίσῃ, καταπαύσῃ. χαροπῆς· φοβερᾶς, ἤως καταπληκτικῆς. ἔργα· κύματα, τὰ ἤθη, τὰ ἤθη τὰ παραδεδομένα αὐτῇ· ἐπαναστροφή.

1.162 Αὐτάρ· δὲ, τότε. ὅγ᾽· ὁ δὴ, ὁ ἐξώκοιτος· οὗτος δὲ, ἤως ὁ ἄδωνις. ἐσσυμένοισι· τοῖς κινουμένοις ῥεύμασιν, ὁρμητικοῖς, ὁρμωμένοις, κινουμένοις. μεθορμηθείς· σὺν, συγκινηθεὶς, ἐφορμήσας. ῥοθίοισι· ῥεύμασιν.

1.163 Ἀμφιταθείς· ἐξαπλωθείς. εὔδιον· γαληνὸν, ἀτάραχον, ἥσυχον.

1.164 Ὀρνίθων· ὄρνις παρὰ τὸ ὀρούω τὸ ὁρμῶ· οὐδὲν γὰρ ἄλλο ὁρμητικώτερον τούτου· ἢ παρὰ τὸ ἄνις καὶ χωρὶς εἶναι ὄρρου, τουτέστι γάλακτος· περὶ τῶν λάρων λέγει καὶ αἰθυιῶν θαλασσίων. Τὸν λάρον λέγει καὶ τὸν ἁλιαίετον καὶ τὴν αἴθυιαν, ἕως οὗ αὐτὸν κατὰ πόντου ἄποθεν τῶν σπιλάδων τὸ κῦμα σαώσῃ ἤτοι ἀποσώσῃ. Ἄλλως· ἕως οὗ τὸν κατὰ μικρὸν κυλιόμενον σώσῃ ἀβλαβῆ τὸ κῦμα ἀπὸ τῶν σπιλάδων τοῦ πόντου, καθὰ λαμπρὰ καλεῖται. τρομέει· φοβεῖται. οἱ· αὐτῷ, τῷ ἄδωνι. οἵοι ἔασι· οἵτινες αὐτῶν ὑπάρχουσιν.

1.165 Δυσμενέες· ἐχθροί. δυσμενόν· τὸν ἐχθρόν. τῶν· ἀφ᾽ ὧν, ἀπὸ τούτων. ἐσαθρήσῃ· καὶ ἴδῃ, βλέψῃ.

1.166 Πάλλεται· ὀρχεῖται, κινεῖται, πηδᾷ. ὀρχηστῆρι. λείπει ἀνθρώπῳ. πανείκελος· πάντα ὅμοιος, καὶ λίαν ὅμοιος, ὅμοιος. ὄφρα· ἕως οὗ, ἕως, ὅπως.

1.167 Προπροκυλινδόμενον· κατὰ μικρὸν κυλιόμενον· τοῦτο γὰρ δηλοῖ ἡ δευτέρα ἐπαγωγὴ τῆς προ, κυλιόμενον, κατὰ τὸ μικρὸν μικρὸν κυλιόων, κατὰ μικρὸν μικρὸν κυλιούμενον. σπιλάδων· πετρῶν σπῖλον ἐχουσῶν· σπιλὰς ἐκ τοῦ σπῖλος ὁ ῥύπος· αὕτη γὰρ δέχεται τῆς θαλάσσης τὰ ῥυπάσματα, ἢ παρὰ τὸ πελάζω πέλας τις οὖσα, εἰς ἣν πελάζουσι τὰ κύματα. σαώσῃ· σώσῃ, ἀβλαβῆ.

1.168 Πέτρῃσι· ἰωνικόν. ψαμάθοισι· συλληπτικὸν τὸ σχῆμα. νέμονται· διάγουσι, βόσκονται, ὑπάρχουσιν.

1.169 Ἀγλαΐῃ· λαμπρότητι, λαμπρά. χρύσοφρυς· ἐπώνυμος τῇ οἰκείᾳ ἀγλαΐᾳ. ἐπώνυμος· ἐπώνυμον.

1.170 Σιμοί. μικροὶ, πατζοὶ τὴν ἡλικίαν· πατζοὶ ἦγουν σιμοσπόνδυλοι. γλαυκοί· αἱ κουκουβαΐαι. γλαυκὸς ἐπ᾽ ὀφθαλμῶν, λευκὸς ἐπὶ χροιᾶς, γλαὺξ λέγεται ἡ κουκουβαΐα. ἀλκησταί· ἰσχυροὶ ἀπὸ τῆς ἀλκῆς. συνόδοντες· πυκνόδοντες, πεπυκνωμέναι τοὺς ὀδόντας· συνόδοντές εἰσι βοῦς, πρόβατον, αἴξ, καὶ εἴ τι συμβέβηκε στέαρ ἔχειν, ἀλλ᾽ οὐ πιμελήν· διαφέρει γὰρ πιμελὴ στέατος, ἐτυμολογεῖται δ᾽ ἀπὸ τοῦ σῦς ὁ χοῖρος καὶ τοῦ ὀδοὺς, οἱονεὶ οἱ ἔχοντες ὀδόντας χοίρων. Καρχαρόδοντα δὲ ζῶά ἐστιν ὅσα στρογγύλας καὶ ὀξεῖς καὶ ἐναλλάσσοντας ἑαυτῶν τοὺς ὀδόντας ἔχει, οἷον λύκος, λέων, πάρδαλις καὶ τὰ ἄλλα, ἐστὶ δὲ καὶ ἀπὸ τῶν ἰχθύων πᾶν γένος καρχαρόδουν, ταῦτα δὲ καὶ σαρκοφάγα συμβέβηκεν εἶναι· ἀμφόδοντά ἐστιν ἄνθρωπος, ἵππος, ὄνος, ἐλέφας, καὶ πάντα ὅσα τοὺς ὀδόντας οὐκ ἐνηλλαγμένους ἔχει, τούτοις δὲ συμβέβηκε πιμελὴν, ἀλλ᾽ οὐ στέαρ ἔχειν· χαυλιόδοντα δ᾽ ἐστὶ τὰ ὑποφαίνοντα ἔξω τοὺς ὀδόντας, οἷον ὗς, ἀσπάλαξ, καὶ εἴ τι τοιοῦτον ἄλλο.

1.171 Ἀϊκτήρ· ὁρμητικὸς ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ. Σημείωσαι ὅτι οἱ θαλάσσιοι μῦες τῷ δέρματι καὶ τοῖς ὀδοῦσι θαρροῦντες τοῖς ἀνθρώποις καὶ τοῖς ἰχθύσι μάχονται. δίδυμον· διπλοῦν. ἀμφότεραι· δύο γένη εἰσὶ σφυραινῶν.

1.172 Σφύραιναι· ζαργάναι, οἱ ζαργάναι καλούμεναι. δολιχαί· μακραί. ῥαφίδες· βελονίδες, ἦγουν αἱ βελονίδες αἳ κατὰ ζαργάναι. ἐπὶ τῇσιν· σὺν ταύταις, σὺν τούτοις· γράφεται ἅμα τῇσιν. ἀραιαί· ἀσθενεῖς, λεπταὶ, ἀσθενέσταται.

1.173 Κοῦφοι· ἐλαφροὶ, εὐκίνητοι. κυβιστητῆρες· κολυμβισταὶ, κολυμβηταί.

1.174 Χαλεπόν· κακόν. περὶ πάντων· περισσοτέρως.

1.175 Θαρσαλέοι· τολμηροὶ, ἀναιδεῖς, ἀναίσχυντοι. ἀντιφέρονται· μάχονται, ἀντιμάχονται, ἐναντιοῦνται.

1.176 Τόσοι· μεγάλοι, ἰσχυροί. ἐόντες· ὄντες κατὰ δύναμιν ἢ κατὰ μέγεθος. ἐπὶ στερεῇ· ετῆ ἰανοῖς δυνατοί.

1.177 Ῥινῷ· δέρματι, θηλυκῶς δέρματι. πεποιθότες· θαρροῦντες. ἔνδον· τοῦ στόματος δηλονότι, ἔσωθεν. ὀδοῦσιν· ἀπὸ τοῦ ἔδω τὸ ἐσθίω.

1.178 Ἀρειοτέροισι· κρείττοσι, μείζοσι, κρειττοτέροις, καλλιωτέροις κατὰ πόλεμον, γίνεται δὲ παρὰ τὸ Ἄρης· κυρίως γὰρ ἀρείων ὁ κατὰ πόλεμον ἀνδρεῖος.

1.179 Οἱ δ'· ἄλλοι. Ἄλλοι δ' οὐ προσπελάζουσι τοῖς αἰγιαλοῖς. ἀμετρήτοις· βαθυτάτοις, πολυβαθέσιν. αὖλιν· κατασκήνωσιν. ἄλην· πλάνην. ἔχουσι· κατοικοῦσι, κέκτηνται.

1.180 Τηλοῦ· μακρὰν, μακρόθεν, συνίζησις. τραφερῆς· ξηρᾶς, τῆς θρεπτικῆς· τραφερὴ ἀπὸ τοῦ τρέφω· θρεπτικὴ γὰρ ἡ γῆ· ἢ ἀπὸ τοῦ τάρφω τὸ ξηραίνω· ξηρὸν γὰρ τὸ στοιχεῖον. ἠιόσιν· τοῖς αἰγιαλοῖς. Αἰγιαλὸς ἐτυμολογεῖται παρὰ τὸ ἀΐειν διὰ τὸ ἀνεπιπροσμάχητον, ἢ παρὰ τὸ δίκην αἰγὸς ἄλλεσθαι, ἢ παρὰ τὸ αἶαν γείτονα εἶναι τῆς ἁλός. ἑταῖροι· φίλοι. Σημείωσαι ὅτι ξένος, φίλος καὶ ἑταῖρος διαφέρει· ξένος ἐστὶν ὁ ἀπὸ ξενίας φίλος, φίλος δ' ὁ ἐν συμποσίῳ παρὰ τὸ πίνω, πίνος καὶ φίλος, ἑταῖρος ὁ ὑποτακτικῶς διάγων τινὶ καὶ προσφιλὴς ἐκείνῳ γενόμενος· ἀπὸ τοῦ ἐθὰς ὁ συνήθης ἐθάρος, καὶ προσθέσει τοῦ ι καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν ἑταῖρος· διὸ καὶ τὸ δασὺ ἔχει πνεῦμα, σημεῖον τῆς ἐκθλίψεως τοῦ δασέος συμφώνου.

1.181 Θύννοι· παρήχησις, προετυμολόγησις, τρόπος ἐτυμολογικός· θύννος ἀπὸ τοῦ θύω τὸ ὁρμῶ. θύνοντες· ὁρμῶντες, σφοδρῶς ὁρμῶντες, οἱ μανιωδῶς ὁρμῶντες· θύνω τὸ ὁρμῶ. ἔξοχοι· μεγάλοι, ἐξαίρετοι. ἔξοχοι ὁρμήν· ἀντὶ τοῦ οἱ μανικώτατοι.

1.182 Κραιπνότατοι· ταχύτατοι, ἰσχυροὶ παρὰ τὸ τὴν κάραν πνέειν, συντομώτατοι. Κραιπνὸς ἀπὸ τοῦ τὴν κάραν εἰς ὕψος πνέειν. ξιφίαι φερώνυμοι· τὸ γὰρ αὐτῶν στόμα ξίφει ὅμοιον, διὰ τὸ μύτιν ἔχειν δίκην ξίφους. ὑπέροπλος· ὑπερδύναμος, ἀλαζονικὴ, ἐπηρμένη, μεγίστη.

1.183 Πρηνάδες· ὄνομα τῶν ἰχθύων.

1.184 Σκολιαί· ἐπικαμπεῖς, στραβαί· σκολιὸν τὸ ποικίλον. σκυτάλαι· αἱ ἀβίναι λεγόμεναι, λεπίδαι. γένεθλα· γράφεται κέλευθα.

1.185 Ἐν τοῖς· ἐν τούτοις, ἰωνικῶς. κάλλιχθυς· ἀπὸ τῆς καλλονῆς κάλλιχθυς, ἱερὸς δὲ διὰ τὸ εἶναι μέγας, ἢ διὰ τὸ ὅπου ἀναστρέφεται αὐτὸς, ἐκεῖ κοῖται οὐκ εἴσιν. ἐπώνυμος· φερώνυμος. ἱερός· καλὸς, μέγας, τίμιος, φυλακτικός. ἱερός· ἢ τίμιος, ἢ καλὸς, ἢ μέγας, ἢ φυλακτὴς τῶν ναυτίλων, ἢ ἔνθα ἀναστρέφεται, ἔνθα οὐκ εἴσι κοῖται.

1.186 Κείνοις· ἰωνικὴ ἀφαίρεσις. Ἡ ἀφαίρεσις τῶν Ἰώνων, ἡ συγκοπὴ τῶν Αἰολέων, ἡ ἀποκοπὴ τῶν Ἀττικῶν. Πομπίλος· ἀπὸ τοῦ πομπεύειν τὴν νῆα, οἱονεὶ πομπῖνός τις ὤν. Πομπίλος παρὰ τὸ παραπέμπειν τοὺς πλέοντας· ὅτι παραπομπεύει τὴν νῆα, οἱ ναῦται τῇ πομπῇ τῶν νηῶν ἐπεφήμισαν τὸ ὄνομα αὐτοῦ, τουτέστι φερώνυμα ἐκάλεσαν· πομπὸς λέγεται συνοδοιπόρος, ἄγγελος, καὶ πομπὴ ἡ ἀποστολὴ, λέγεται δὲ πομπὴ καὶ ἡ μετὰ σταυροῦ λιτὴ καὶ ἔφοδος καὶ ἐξαποστολὴ καὶ δημοσίευσις, καὶ πομπεῖα τὰ εἰς πομπὴν κατασκευαζόμενα θυμιατήρια καὶ φιάλαι, καὶ πέμψαι τὸ ἀποστεῖλαι, ἀλλὰ καὶ τὸ πομπεῦσαι. πέρι· περισσῶς.

1.187 Ἅζονται· τιμῶσι, σέβονται, σεβάζονται. πομπῇ· ὁδηγίᾳ. ἐπεφήμισαν· ἀντὶ τοῦ ἐπέθηκαν, ἐπωνόμασαν. οὔνομα· πομπίλος, τὸ πομπίλον. πομπίλος, προπέμπει τὰς νο ναῦς.

1.188 Ἔξοχα· λίαν, ὑπερβαλλόντως. γεγηθότες· χαίροντες. ὑγρὰ θεούσαις· ταῖς κατὰ τὴν θάλασσαν τρεχούσαις. ὑγρά· πῶς.

1.189 Πομπῆες· ἀκόλουθοι, συνέμποροι, ὁδηγοὶ, ὁμόστολοι, ὁμόπλοοι.

1.190 Ἀμφιπερισκαίροντες· πηδῶντες, περικυκλοῦντες, ἄγαν πηδῶντες, περιχαιρόμενοι, περιπηδῶντες. ἐΰζυγον· ζεῦγος σημαίνει δ' τὸν τοῦ

ἅρματος, ὑφ᾽ ὃν οἱ ἵπποι ζεύγνυνται, τὸν τῆς κιθάρης πῆχυν, τὰς τῶν κωπηλατούντων καθέδρας, καὶ τὸ τῶν πλαστίγγων τοῦ ζυγίου ξύλον. ἐΰζυγον· τὴν ναῦν λέγει ἐγκάθεδρον. Ἅρμα ἐΰζυγον τὴν νῆα λέγει, καὶ ἵππον θαλάσσης τὰς κυβερνήσεις τὰς γινομένας. Ζυγὸς σημαίνει τρία· τὸ ἅρμα τῶν ἵππων, ὡς

ἱππείου δὲ ζυγοῦ
θεὰ ἥψατο,

καὶ τὸν τῆς κιθάρας πῆχυν, εἰς ὃν οἱ κάλαμοι ἐμπεπήγασιν, ὡς τό

ἐπὶ δ᾽ ἀργυρέον ζυγὸν ἦεν

καὶ τὰς τῶν ἐρεσσόντων καθέδρας, καὶ ζυγὸς ἡ τῶν βοῶν, καὶ ζυγὸς τὸ ζύγιον. Ἅρμα θαλάσσης· τὸ πλοῖον, τὴν νῆα τρεπτικῶς οὕτως εἶπεν.

1.191 Τοίχους· μέρη, τὰ πλάγια καὶ ἄμφω τῆς νηὸς, τὰ πλάγια, τὰ ἑκάτερα πλευρὰ τῆς νηός. πρυμναῖα χαλινά· πηδάλια ἰθύνοντα ναῦν, ὡς οἱ χαλινοὶ τοὺς ἵππους, κατὰ μεταφορὰν, τὰ πηδάλια. Ἀντὶ τοῦ εἰπεῖν πρυμναῖα πηδάλια χαλινὰ εἶπεν, ὡς ἐκ μεταφορᾶς τῶν ἵππων, οἷς ἰθύνονται, καὶ τὰ πηδάλια ἰθύνουσι τὰς νῆας, ὥσπερ οἱ χαλινοὶ τοὺς ἵππους· ὥσπερ χαλινὸς ἐν ἵππῳ, τοῦτο οἴαξ ἐν τῇ νηΐ.

1.192 Οἰήκων· αὐχενίων. περὶ πρώρην· τὰ ἔμπροσθεν μέρη τῆς νηός. πρώρα τὸ ἔμπροσθεν τῆς νηὸς διὰ τὸ πρώτην τοῦ ῥέοντος ἅπτεσθαι, πρύμνη δὲ τὸ ὄπισθεν ἀπὸ τοῦ εἰς πέρας μένειν. Πρῶραι ἀπὸ τοῦ πρώτη τὸν ῥοῦν ἅπτεσθαι. ἀγέρονται· συναθροίζονται, ἀθροίζονται.

1.193 Αὐτόμολον· αὐτοπροαίρετον, ἑκούσιον, αὐθόρμητον. Οὐδ᾽ ἂν αὐτόμολον πλοῦν φαίης ἐκείνους ἔπεσθαι, ἀλλ᾽ ὡς ἀπὸ δεσμοῦ ἐξ ἀνάγκης ἔπεσθαι, τὸ δ᾽ αὐτόμολον τάττεται ἐπὶ τοῦ αὐτοπροαιρέτου. κείνους· ἀπὸ κοινοῦ τὸ ἔπεσθαι, ἄγεσθαι, λείπει ποιεῖσθαι, κείνων. πλόον· εἶναι, λείπει ἔπεσθαι. ὑπὸ δεσμῷ· λείπει ὥσπερ.

1.194 Φαίης· εἴπῃς. ἐυγόμφοισιν· ἐυκαρφώτοις, ἐνισχομένους, ἐμπεπλεγμένους, συνεχομένους, κεκρατημένους. πινάκεσσιν· σανιδώμασι, τοῖς σανίσιν.

1.195 Ἑλκομένους· συρομένους, φερομένους. ἀέκοντας· συρομένους, μὴ βουλομένους. Οὐ λέγει ἐκείνους ἀφ᾽ ἑαυτῶν ἔπεσθαι, ἀλλ᾽ ὡς συνδεδεμένους τῇ νηΐ· τοσοῦτον γάρ εἰσι πλησίον αὐτῆς. ἀναγκαίῃσιν·

βίᾳ, βίαις. Ὥσπερ λέγομεν σεληναίαν τὴν σελήνην, καὶ ἁμαξαίαν τὴν ἅμαξαν, οὕτως καὶ ἀναγκαίαν τὴν ἀνάγκην. ἔπεσθαι· φέρεσθαι, φέρειν, ἀκολουθεῖν· γράφεται ἄγεσθαι.

1.196 Τόσσον· θαυμαστικόν, ἀπόθεσις. τοσοῦτον· κατ᾽ ἀπόφασιν, ἀποφαντικόν. ἔρως· ἀγάπη, ἐπιθυμία. γλαφυρῇσιν· βαθείαις, κοίλαις, ταῖς ἡλαις. ὁλκάσιν· ταῖς ναυσίν. ἐσμόν· πλῆθος. ἀγείρει· συναθροίζει, συναθροισθεῖσιν.

1.197 Οἷον δή· παραβολή. φερέπτολιν· φέροντα πόλεις, ἢ νικητὴν, ἔχοντα πόλιν ἀπὸ νίκης, νικηφόρον, ἢ τὸν νικήσαντα, πορθήσαντα πόλεις, κρατήσαντα πόλιν, καθὰ βασιλέα, ἢ νικητὴν, ἢ τὸν φέροντα καὶ ἔχοντα τὴν πόλιν, ἢ βασιλέα φέροντα καὶ σώζοντα πόλεις. ἠέ τιν᾽· ἤ τινα, ἰωνικῶς.

1.198 Ἀθλοφόρον· νικητὴν, τροπαιοῦχον. θαλλοῖσι κλάδοις, κλαδίοις, κλάδοις ἐλαίας, ηλώδοις. νεοστέπτοισι· νεαροῖς, νεωστὶ κοπεῖσι, τοῖς νεωστὶ πεπλεγμένοις παρὰ τὸ στέφω τὸ πλέκω. κομῶντα· στεφανούμενον, περιφραστικῶς αὐτοῦ στεφανοφοροῦντος κλανεως.

1.199 Παῖδες· ἄζυγοι. ἠΐθεοι· νέοι, νεώτεροι ἀπὸ τοῦ αἴθω τὸ καίω, ἄζυγοι νέοι, ἀκμαῖοι. ἐπὶ γυναικῶν παρθένος, ἐπ᾽ ἀνδρῶν ἠΐθεος. ἠΐθεος ὁ νέος ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ καὶ τοῦ θέω τὸ τρέχω· ἡ γὰρ ἡλικία τοῦ νέου οἱονεὶ τρέχει καὶ αὔξει, ἀκμὴν μήπω σταθεῖσα εἰς μέτρον τέλειον. Σημείωσαι, ὅτι ὥσπερ ἐρίθυμα λέγομεν τὰ τῶν παρθένων γυναικῶν, οὕτω καὶ ἠιθέους τοὺς ἀζύγους νέους. ἀμφιέποντες· κυκλοῦντες, περικυκλοῦντες, ψικ...οντες.

1.200 Ὅν· εἰς τὸν ἴδιον, καὶ ἴδιον οἴκημα, κατ᾽ ἀναστροφήν. εἰσάγουσι· φέρουσιν. ἀθρόοι· ἅμα, ὁμοῦ, συνηθροισμένοι.

1.201 Εὐερκέων· πλατὺν, τῶν καλῶς κεκτισμένων· γράφεται εὐερκῆ. εὐερκῆ· πλατὺν, καλῶς πεφραγμένον. μεγάρων· οἰκημάτων. θάλαμος, μέλαθρον καὶ μέγαρον διαφέρει· θάλαμος ὁ παστὸς ἀπὸ τοῦ θάλλειν ὁμοῦ τοὺς δύο νεονύμφους, μέλαθρον τὸ μαγειρεῖον παρὰ τὸ τὸν ἀέρα μελαίνειν, ἢ τὸ ὑψηλὸν παρὰ τὸ μάλα αἰθερούμενον καὶ ὑψούμενον, μέγαρον τὸ παλάτιον ἀπὸ τοῦ μεγάρω τὸ φθονῶ, καταχρηστικῶς δὲ πᾶν οἴκημα.

οὐδόν· ἔδαφος, κατώφλιον, εἰς τὴν φλοιάν. ἀμείψῃ· παρέλθῃ, ἀνέλθῃ, ἔλθῃ, ὑπερβῇ.

1.202 Ὡς οἵ γ'· ἀπόδοσις τὸ σχῆμα. ὠκυπόροισιν· ταχέως περώσαις, ταχυτάταις. νήεσσι· καραβίοις.

1.203 Ὄφρ'· ἕως οὗ. οὔ τις· οὐδαμῶς. ἐλάῃ· διώκει τούτους, ἐλαύνῃ. Ἐν ὅσῳ φόβῳ οὐ φοβοῦνται τὴν γῆν, φέρουσι καὶ προπομπεύουσι τὴν νῆα, ὅτε δὲ φράσσονται, ἀποθρώσκουσι διὰ μέσου καὶ ἀποπηδῶσιν, ὡς ἀπὸ καμπτῆρος ἀνακάμπτοντες, καὶ οὐκέτι καρτερεῖν θέλουσι, σημεῖον δὲ ναύταις, ὅτι πλησίον εἰσὶ τῆς γῆς, ὅταν καταλείψαντες αὐτοὺς εἰς τοὔπισθεν ἀποχωρῶσιν.

1.204 Φράσσονται· νοήσουσι, νοήσωσιν, ἴδωσιν. τραφερήν· ξηράν, μεσεμβόλημα, ἀπὸ τοῦ πάντα τρέφειν. μέγ'· διὰ μέσου ἐπιφωνητικοῦ. ἄρουραν· γῆν.

1.205 Αὖτις· μετ' ὀλίγον, ὀπίσω, εἰς τοὐπίσω, πάλιν. ἀφορμηθέντες· στραφέντες, εἰς τοὔπισθεν κινηθέντες, συνηγμένοι, πάλιν νοστήσαντες. ἀολλέες· ὁμοῦ, πάντες ὁμοῦ, ἅπαντες συνηθροισμένοι, ἀπὸ τοῦ α τὸ ὁμοῦ καὶ τοῦ ὅλος ὁ ἅπας. νύσσης· καμπτῆρος, ἀποκαμπτοῦ, καμπτοῦ, ἀφετηρίας. Ἠΰτε νύσσης· λέγεται καὶ ὁ καμπτὸς, ἀπὸ ἀφετηρίας ἀνακάμψαντες. ἀπὸ νύσσης· ἔστι νύσσα ἀφετήριος, ἀφ' οὗ τοὺς ἵππους ἀφιᾶσι τρέχειν, ἔστι δὲ καὶ καμπτήριος, ἐν ᾗ τρέχοντες κάμπτουσι, νύσσα δὲ λέγεται ἀπὸ τοῦ νύσσω τὸ διεγείρω.

1.206 Ἀποθρώσκουσι· ἀποπηδῶσιν, ἐπαναχωροῦσι, πηδῶσιν. οὐκέτι· οὐδαμῶς, εἰς τὸ ἑξῆς.

1.207 Σῆμα· τοῦτο σημεῖον τοῖς ναύταις, σύμβολον, γνώρισμα. ἐτήτυμον· ἀληθές.

1.208 Ἴδωσι· ἴδωνται.

1.209 Πομπίλε· γλυκύτης, ἀποστροφὴ καὶ ἀναφώνησις τοῦ ποιητοῦ πρὸς τὸν ἰχθύν. Τρεῖς τρόποι κατὰ ῥήτορας εἶσι διηγήσεως, ἁπλοῦς, ἐγκατάσκευος καὶ ἐνδιάσκευος· ἁπλᾶ μέν ἐστιν, ὅθ' ἁπλῶς καὶ ἀπεριέργως αὐτὰ μόνα

λέγει τὰ πράγματα, διηγεῖται δέ τις ἁπλῶς, ὅταν ἢ πολλὰ ᾖ τὰ πράγματα, ἢ ἀφ᾽ ἑαυτῶν μόνων ἢ τὴν τέρψιν ἢ τὸ ἐνδύναμον ἔχωσιν· ἐνδιάσκευος δὲ διηγήσεως τρόπος ἐστὶ τὸ ὥσπερ ζωγραφεῖν καὶ ὑπ᾽ ὄψιν ἄγειν τὰ πράγματα τῷ τεχνικῶς διηγεῖσθαι· διηγεῖται γάρ τις ἐνδιασκεύως, ὅτι ἢ πλατῦναι θέλει τὴν διήγησιν οὖσαν βραχεῖαν, ἢ πρὸς ὀργὴν καὶ λύπην πλείονα κινῆσαι, ἐὰν ὦσι λυπηρὰ τὰ ἀφηγημένα· ἐγκατάσκευος δ᾽ ἡ διήγησις, ἣ καὶ τεχνικωτάτη, ἡ κατασκευάζουσα καὶ ἀποδεικνύουσα καλῶς ἔχειν τὰ λεγόμενα, διηγεῖσθαι δὲ χρὴ ἐγκατασκεύως καὶ ὅταν πάλιν πλατῆ τις θέλῃ ὑπόθεσιν καὶ ὅταν δοκῇ ἀπιθάνως λέγειν, ἢ ἀδύνατα παντελῶς· καὶ οὗτοι μὲν οἱ τρεῖς τρόποι τῆς διηγήσεως, ὡς καὶ τοῖς νῦν ῥήτορσι γνώριμοι. ναυτιλίῃσι· πομπαῖς τῶν πλοίων. τετιμημένε· τετιμημένον. σοι· διά σου, ἀπό σου. δέ· γάρ.

1.210 Εὐκραεῖς· εὐδίους, εὐδιεινὰς, γαληναίας, τὰς ἐχούσας καλὴν κρᾶσιν. τεκμαίρεται· σημειοῦται, στοχάζεται, προσδοκᾷ.

1.211 Εὔδια· ἐν εὐδίᾳ, εὐδιεινῶς. στέλλῃ· πορεύῃ, ἔρχηται. πορεύσεαι· πλέεις, ἔρχῃ, πορεύεις. τὸ στέλλω σημαίνει δ' τὸ ἐπιστέλλω, ἐξ οὗ καὶ ἐπιστολὴ, τὸ πλέω, ἐξ οὗ καὶ στόλος, τὸ διαχωρίζω, ἐξ οὗ καὶ διαστολὴ ὁ χωρισμὸς, ἐξ οὗ καὶ στέλλεσθαι τὸ διαχωρίζεσθαι ἀπαρέμφατον, τὸ κοσμῶ, ἐξ οὗ καὶ στολή. εὔδια· εὐδιεινὰ, ευδιαδί. σήματα· γνωρίσματα. φαίνεις· δεικνύεις.

1.212 Καὶ μὲν δή· σὺν τούτοις. ἀλλὰ μέν· μήν. πελάγεσσιν· αἰγιαλοῖς. ὁμῶς· ὁμοίως, τῷ πομπίλῳ, ὁμοίως τοῖς πομπίλοις δηλονότι. ἑταίρη· ἡ φίλη, τοῖς προλεχθεῖσιν ἰχθύσι δηλονότι προσφιλεστάτη. ἐχενηΐς ἀπείργει καὶ κρατεῖ τὴν ναῦν ὑπὸ βιαίων ἀνέμων ἐλαυνομένην, ὅθεν καὶ τὴν ἐπωνυμίαν ἐδέξατο. τοῖς τε πελάγεσί φησιν ἡ ἐχενηΐς ἑταίρη καὶ φίλη, ἢ καὶ αὐτὴ ἐν πελάγεσι διατρίβει.

1.213 Ἦ δή τοι· ἤτις, παρέλκει. ἤτοι· δή. ταναή· ἐπιμήκης, μακρὰ, πλατεῖα, λεπτή. ἰδεῖν· εἰς τό. μῆκος· κατὰ, κατ᾽ εἶδος, τὸ πλάτος λέγω. ἰσόπηχυς· ἴση πήχυος, ἀντὶ τοῦ ἴση.

1.214 Χροιῇ· τὴν ὄψιν, τῇ ὄψει. αἰθαλόεσσα· σποδοειδὴς, στακτώδης, μέλαινα, στακτοειδὴς, αἰθαλώδης. φυή· μελοθεσία, ἡ ἡλικία.

1.215 Εἴδεται· ὁμοιοῦται. νέρθε· ὑποκάτωθεν, ὑποκάτω παρὰ τὸ ἔνερθε κατ᾽ ἀφαίρεσιν τοῦ ε, τοῦτο δὲ παρὰ τὸ τὴν ἔραν ἢ τὴν γῆν ἔρος ἔνερος ἐνέροθεν, καὶ ἐν συγκοπῇ ἔνερθεν. Τὸ δ᾽ ὀξὺ αὐτῆς τὸ στόμα κεφαλῆς νέρθε νένευκε, τὸ στόμα αὐτῆς ὑποκάτωθεν τῆς κεφαλῆς ὀξέως καὶ κατὰ πολὺ νεύει ἐπικαμπές. νένευκεν· νεύει.

1.216 Καμπύλον· λεῖον, ἐπικαμπὲς, λίαν ἐπικαμπὲς, λοξόν. Καμπύλον· ἥως τὸ ῥαιβὸν ὂν, σημείωσαι δ᾽ ὅτι πᾶν ὀξύ ἐστι καμπύλον. ἀγκίστρου· ἀγγύλου. περιηγέος· ἐπικαμποῦς, κυκλοτεροῦς, στρογγύλου, περιφεροῦς. περιηγέος καὶ ἐπικαμποῦς· περιάγειν γὰρ τὸ κάμπτειν· τῇ τοῦ ἀγκίστρου ἀντανακλάσει καὶ ἐπικάμψει ὅμοιον ὑπάρχει τὸ στόμα αὐτῆς. αἰχμῇ· ὀξύτητι, ἄκρᾳ.

1.217 Θαῦμα· προκατασκευή. ὀλισθηρῆς· γλίσχρου, μυξώδους, φθαρτικῆς, ἤτοι ῥᾷστα ἐκπιπτούσης, ὀλισθαινούσης ἐν τῷ κρατεῖσθαι, ἢ τῆς ὄλισθον ἐμποιούσης τοῖς πλοίοις, ἥως ἁπάλαν. ἐφράσσαντο· κατενόησαν, καὶ ἔμαθον, καὶ εἶπον, καὶ διηγήσαντο, ἐνόησαν.

1.218 Οὐ μέν· οὐ μήν. τις· ἄνθρωπος. ἐνὶ φρεσίν· ἐν λογισμοῖς. πιστώσαιτο· πιστεύσει, πιστωθῇ.

1.219 Αἰεὶ γάρ· γνώμη· ὁ νοῦς τῶν μὴ ἐχόντων πεῖραν οὐ πιστεύει. ἀπειρήτων· τῶν μὴ ἐχόντων πεῖραν, τῶν πεῖραν μὴ ἐχόντων εἰς τὰ θαλάσσια· τῶν γὰρ πεῖραν μὴ ἐχόντων ὁ νοῦς ἄπιστός ἐστι μὴ ἰδὼν, καὶ οὐδέποτε πιστεύει, ἀλλὰ φιλονεικεῖ ἐπὶ τοῦτο. ἀνδρῶν· ἀνθρώπων.

1.220 Δύσμαχος· ἄπιστος, φιλόνεικος, δυστυχὴς, δυσπειθὴς κατὰ τοῦ διηγεῖσθαι. ἀτρεκέεσσι· ἀληθέσιν· ἀτρεκὲς τὸ ἀληθὲς, ἐτυμολογεῖται ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ τρέμω· ὁ γὰρ ἀληθεύων οὐ τρέμει. πιθέσθαι· πιστεῦσαι, καταπεισθῆναι.

1.221 Νῆα· τὴν πλέουσαν. τιταινομένην· συρομένην, εὐδρομοῦσαν, πλέουσαν, κυμαινομένην· προκατασκευή. ζαχρηέος· ἐπιτηδείου, ἄγαν χρειώδους, τοῦ χρειώδους, ἄγαν πνέοντος, ἢ ἄγαν χρειώδους. Ζαχρηὴς ὁ ἄγαν χρειώδης κατὰ τροπὴν τοῦ ε εἰς η, ἢ ὁ σφοδρὸς καὶ βαρὺς παρὰ τὸ ζα ἐπιτατικὸν μόριον καὶ τοῦ χρεία. Ζαχρηέως τοῦ ἐπιτεταμένου, τοῦ

πολλοῦ, τοῦ ἄγαν χρειώδους καὶ ἐπιτηδείου πρὸς τὸν καιρὸν τοῦ πλοῦ τῆς νηὸς, τὸ δὲ ζα ἐπιτατικὸν μόριον ἀντὶ τοῦ πολύ· ὁμοίως καὶ τὸ α ὡς τὸ ἄξυλος ὁ πολλὰ ξύλα ἔχων, καὶ ἐρι καὶ νη καὶ βου, βουγάιος ὁ μέγα γαυριῶν, καὶ ἀρι καὶ δα, δάφοινος ὁ ἄγαν φόνιος, καὶ λα. ὁρμῇ· κινήσει. Ἰστέον, ὅτι ἡ ἐχενηΐς ἀπείργει τὴν ναῦν ὑπὸ βιαίων ἀνέμων ἐλαυνομένην, ὅθεν καὶ τὴν ἐπωνυμίαν ἐδέξατο, τοῖς τε πελάγεσσί φησιν ἡ ἐχενηΐς ἑταῖρα, ὅτι καὶ αὐτὴ ἐν τοῖς πελάγεσσι διατρίβει.

1.222 Λαίφεσι· ἀρμένοις, ἀρμενίοις. πεπταμένοισιν· ἐξηπλωμένοις, ἐκτεταμένοις. μέτρα· τὰ μίλια, τὰς ὁδοὺς, τὰ πελάγη. θέουσαν· διατρέχουσαν.

1.223 Ἀμφιχανών· ἀνοίξας, καὶ μεγάλως κρατῶν. ὀλίγον· τὸ μικρόν. ἐρύκει· κρατεῖ, κωλύει.

1.224 Πᾶσαν· ὅλην, καὶ ὅλην νῆα. ὑποτρόπιος· ὑποκάτωθεν, ὢν, ὑποκάτω τῆς τρόπεως, τῆς ....αὶ τὰ συνεργῆ. βεβιημένος· βιαζόμενος, βιάζων, κατέχων, δυναστεύσας. βεβιημένος· ὑποκάτω τῆς τρόπιος κατέχων, βιάζων· ἐπιτείνει τὸ κέρας, ἡ κεραία, καὶ ὑποχαλᾶται καὶ καταπίπτει. τέμνει· ἢ διαπερᾷ, διέρχεται ἡ ναῦς.

1.225 Κῦμα· ἐκ τοῦ κυκάω κυκῶ γ′ συζυγίᾳ τῶν περισπωμένων. ἡ χρῆσις δεινὸν δ’ ἀμφ’ Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα.
καί ἐστι μακρὸν τὸ κῦ· τὰ γὰρ εἰς μα δισύλλαβα τῷ υ παραληγόμενα συστέλλουσιν αὐτὸ, οἷον πλύμα, θύμα, λύμα, πλὴν τοῦ κῦμα· πολλάκις καὶ τὸ λῦμα καὶ τὸ θῦμα ποιητικῶς ἐκτείνεται, ὡς ἱστορεῖ Ἀριστοκλῆς ἐν τῷ περὶ διαλέκτων. ἱεμένη· ὁρμωμένη, προθυμουμένη πλέον, καίπερ προθυμουμένη, σπουδάσασα ἡ ναῦς, ὁρμὴν ἔχουσα, προθυμίαν ἔχουσα. κατὰ δ’ ἐστήρικται· ὑπερβατόν. ἔμπεδον· στερεῶς, ἀκλινῶς, ἑδραίως ἀπὸ τοῦ πέδη ἡ δέσμη, δυνατῶς. ἐστήρικται· ἵσταται.

1.226 Ἀκλύστοισιν· ἀκυμάντοις, ἀβρόχοις, ἡσύχοις, ἀταράχοις. ἐεργομένη· κωλυομένη, εἰργουμένη, κρατουμένη, κατερχομένη. λιμένεσσιν· ἀττικόν.

1.227 Λίνα· ἄρμενα, τὰ λαίφη. λίνον· τὸ ἄρμενον. προτόνοισι· σχοινίοις. περὶ προτόνοισι μέμυκε· ὑπερβατόν. μέμυκε· ἠχεῖ, βοᾷ, ἠχοῦσι, τρύζουσιν.

πρότονα· τὰ τοῦ ἱστίου σχοινία, πείσματα, δι᾽ ὧν τὸ πλοῖον κρατεῖται, ἐπὰν τῷ λιμένι προσπελάσῃ, κάλωες δὲ τὰ ἄρπενα, τὰ λεγόμενα ἀνταραῖαι.

1.228 Ῥοχθεῦσι· τρυσμὸν ποιοῦσιν, ἠχοῦσι, κτυποῦσιν. κάλωες· σχοῖνοι, τὰ σχοινία, τὰ μεγάλα σχοινία. ἐπημύει· ἐπικλείει, ἐπικλίνει, ἐπινεύει, κλίνει. κεραίη· τὸ κερατάριον, κερούχη, τὸ κατάρτιον.

1.229 Ῥιπῇ· ὁρμῇ τοῦ ἀνέμου, τῇ ὁρμῇ. ἐπειγομένη· βιαζομένη, κινουμένη, σπεύδουσα. πρύμνῃ δ᾽ ἔπι· ὑπερβατὸν, ἀντιστροφή, ὁ ἐν τῇ πρύμνῃ καθήμενος. χαλινά· τροπικὸν ἐκ τοῦ χαλᾶν.

1.230 Ἰθυντήρ· ὁ κυβερνήτης. ἀνίησιν· χαυνίζει, ἐνδίδωσιν, ἀφίει. ἐπισπέρχων· σπουδάζων, κινῶν, ἐπισπεύδων. ὁδὸν ἅλμης· διαδραμεῖν δῆλον.

1.231 Ἡ δ᾽· αὕτη ἡ ναῦς οὔτε τῶν πηδαλίων ποιεῖ λόγον, οὔτ᾽ ἄλλου τινὸς, οὐ φροντίζει, οὐκ ἐπιστρέφεται. Ἡ δ᾽ οὔτ᾽ οἰήκων· ἥως οὐδὲ διὰ τὰς οἴακας πλεῖ, ἔχουσα αὐτοὺς ἀπολύτους, τῶν πηδαλίων ποιεῖται λόγον, οὐ φροντίζει, οὐκ ἐπιστρέφεται, τουτέστιν ἡ ναῦς οὔτ᾽ οἰάκων ἐπιμέλειαν ποιεῖται, οὔτ᾽ ἄλλου τινός. οἰήκων· πηδαλίων. ἐμπάζεται· φροντίζει, σχῆμα τῆς γλυκύτητος, ἐπιστρέφεται. Ἐμπάζω τὸ φροντίζω ἀπὸ τοῦ ἐμπάσσω τὰς διαβουλὰς, δοκοῦμεν, ἐν πάσῃ τῇ διανοίᾳ· ἐμπάσσω καὶ αἰολικῶς ἐμπάζω· τὰ γὰρ δύο σ εἰς ζ τρέπεται αἰολικῶς. Διάλεκτοι πέντε· Ἰὰς Ὅμηρος, Ἀτθὶς Ἀριστοφάνης, Δωρὶς Θεόκριτος, Αἰολὶς Ἀλκαῖος, καὶ κοινὴ Πίνδαρος. Αἱ διαλύσεις τῶν Ἰώνων, αἱ συγκοπαὶ τῶν Αἰολέων, καὶ αἱ ἀποκοπαὶ τῶν Ἀττικῶν.

1.232 Πείθεται· εὐπειθὴς γίνεται. ῥοθίοισιν· κύμασιν· ῥόθιον τὸ ῥεῦμα καὶ ἐπίθετον κύματος, ῥόθιον εἶδος πλεύσεως. παγεῖσα· ῥιζωθεῖσα, στᾶσα.

1.233 Μίμνει· μένει, ἵσταται. ἐσσυμένη· ὁρμωμένη· ὁρμῶσα ἀπὸ τοῦ σεύω τὸ ὁρμῶ, προθυμουμένη, κινουμένη. πεπέδηται· δεδέσμηται, δεσμεῖται.

1.234 Οὐτιδανοῖο· μικροῦ, οὐδαμινοῦ, τοῦ σμικροῦ, καὶ ὀλίγου. Οὐτιδανοῖο· ἀπὸ τοῦ οὔτι τὸ οὐδαμῶς καὶ τοῦ γάνος ἡ χαρὰ, καὶ τροπῇ τοῦ γ εἰς δ δανὸς, ὡς τὸ ὦ γᾶ καὶ ὦ γῆ ὦ δᾶ παρ᾽ Αἰσχύλῳ ἥως οὐτιδανοῖο καὶ μὴ ποιούσης

τι χαρμόσυνον. μετὰ στόμα· κατὰ τοῦ στόματος. ποτί· πρός. ποτὶ στόμα· κατὰ τοῦ στόματος, ἀττικόν, μετὰ στόμα, διὰ τοῦ στόματος.

1.235 Τρομέουσιν· φοβοῦνται. ἀείδελα· ἄγνωστα, ἀθέατα, ἀφανῆ.

1.236 Δερκόμενοι· νοοῦντες, αἴσθησις ἀντὶ αἰσθήσεως, βλέποντες, φαντάζοντες. θάμβος· σημαίνει τὴν ἔκπληξιν, εἴδους τῶν ὑποπεπτωκότων εἰδικοῦ, τὸ γενικὸν φόβος, ἔστι δὲ παρὰ τὸ θάπος πλεονασμῷ τοῦ β καὶ τροπῇ τοῦ π εἰς μ διὰ τὴν ἀσυνταξίαν, τὸ δὲ θάπος παρὰ τὸ θήπω. ἶσον· ὅμοιον. ὀνείρῳ· ὄνειρος ἀπὸ τοῦ ὂν εἴρειν καὶ ἀγγέλλειν.

1.237 Ὡς δ'· παράδειγμα. Σημείωσαι ὅτι ἄλλο παραβολὴ καὶ ἄλλο παράδειγμα· παραβολὴ μὲν ἡ ἀπ' ἀψύχων καὶ ἐμψύχων γινομένη δεῖξις, παράδειγμα δ' ἡ ἀπ' ἐμψύχων, ὡς τό· ἦ ῥα τὸν Δημοσθένην, ὦ παῖ. ὅτι· καὶ εἴ ποτε. ξυλόχοισιν· συνδένδροις τόποις, τοῖς ἔχουσι ξύλον ὄρεσι, τούτοις τοῖς ξύλα ἔχουσιν. λαιψηρά· ταχεῖα, ταχέως.

1.238 Ἔλαφον· ἔλαφος ἢ διὰ τὴν κουφότητα καὶ τὸ τάχος, ἐλαφρά τις οὖσα, ἢ παρὰ τὸ ἑλεῖν καὶ φονεύειν τοὺς ὄφεις, ἢ διὰ τὸ ἐν ἕλει ἢ ἐν τῷ δάσει φαίνεσθαι. δεδοκημένος· ἐπιτηρήσας, ἐνεδρεύσας, στοχασάμενος. ἄκρον· κατά.

1.239 Κῶλον· πόδα. κῶλον κυρίως ἡ κνήμη, ὡς ἡ τῆς Κωλιάδος Ἀφροδίτης ἱστορία δηλοῖ. κῶλον καὶ τὸ ἱερὸν ὀστοῦν, ἤτοι τὸ μέγα, τὸ ὑποκάτω τοῦ ποδὸς λέγει. ὑπό· ἐν. πτερόεντι· σαρίσσῃ. Ὑπὸ τῷ πτερόεντι ὀϊστῷ βαλὼν τὸ ἄκρον κῶλον τουτέστι ἢ εἰς κοτύλην, ἢ ὠμοπλάτην, ἢ πόδα. βαλών· τρώσας. ἐπέδησεν· ἐκώλυσεν, ἔπαυσεν, ἐδέσμευσεν. ἐρωῆς· τῆς ὁρμῆς, δρόμου. Ὀρωῆς δρόμου ἀπὸ τοῦ ὀρούω τὸ ὁρμῶ.

1.240 Καί· καίπερ, ὅμως. ἐσσυμένη· ὁρμωμένη, ὁρμὴν ἔχουσα βαδίζειν, κινουμένη, ὁρμῶσα. ἀναγκαίῃς· βιαστικαῖς.

1.241 Ἀμφιπαγεῖσ'· προσηλωθεῖσα. μένει· καρτερεῖ.

1.242 Πέδην· δέσμην. περιβάλλεται· περιτίθεται, ἤως τὸν διὰ στόματος δεσμὸν περιτίθησι, καὶ ἐπιτιθήσας. αἰόλος· διὰ τὴν πανουργίαν, πανοῦργος.

1.243 Ἀντιάσας· ἐξ ἐναντίας ἐλθὼν, συναντήσας τὴν νῆα. τοίην· τοιοῦτον ὄνομα ἔχον. Τοιούτων φησὶν ἔργων γ᾽ ἔλαχε φερωνυμίας, τουτέστιν ἀπὸ τοῦ κατέχειν τὰς ναῦς ἐχενηΐς ἐκλήθη. ἔργων· τῶν πράξεων.

1.244 Αὖ· δή. θρίσσαι· οἱ τριχαῖοι. Αἱ δὲ χαλκίδες καὶ θρίσσαι καὶ ἀβραμίδες ἄλλοτε ἄλλον πόρον φέρονται· θρίσσαι δύο εἴδη ἰχθύων οἱ τριχαῖοι καὶ ἕτερον ὅμοιον σκόμβρῳ, ἢ μικρότερον. φορέονται· πλέουσι, κινοῦνται, πορεύονται, φέρονται.

1.245 Ἀθρόαι· ὁμοῦ, ὁμοῦ πᾶσαι, ἀγεληδὸν, ὁμοῦ συνηθροισμέναι. ἄλλον· εἰς. πόρον· ἔχουσι, πέλαγος.

1.246 Ἐπέδραμον· ἐπιτρέχουσιν. αἰγιαλοῖσι· αἰγιαλὸς παρὰ τὸ αἶα ἡ γῆ καὶ τὸ γείτων καὶ τὸ ἅλς· ἡ τῆς αἵας γείτων ἅλς, ἢ παρὰ τὸ δίκην αἰγὸς ἅλλεσθαι τὰ κύματα ἐν αὐτῇ.

1.247 Ἀμειβόμεναι· περιπατοῦσαι, καὶ διερχόμεναι, ἀλλάσσουσαι, ἐναλλάττουσαι. ξενίην· ξένην. ἀλῆται· πλανῆτες, πλανῆται.

1.248 Ἀνθιέων· εἶδος ἰχθύος κητώδους. μάλιστα· ἐξαιρέτως, ὡς ἐπὶ τὸ πλεῖστον. βαθείαις· ἢ διότι εἰσὶ μέσον τῆς θαλάσσης, ἢ διότι εἰσὶ βαθεῖαι καὶ κωφαί. Βάθος παρὰ τὸ μετὰ βίας θέειν, ἐξαιρέτως αἱ διατριβαὶ τῶν ἀνθιέων ἐν ταῖς πέτραις ταῖς βαθείαις εἰσίν.

1.249 Ἔμφυλοι· συνήθεις, συγγενεῖς, προσφιλεῖς, φίλοι ταύταις ταῖς πέτραις, ἔμφυλοι, ἐκ τῆς αὐτῆς φυλῆς, οὐ πολέμιον, ἀλλ᾽ ἔμφυλον· ἔμφυλον τὸ συγγενὲς, συγγενὲς δὲ τὸ σύνηθες, καὶ πᾶν συγγενὲς καὶ σύνηθες, οὐ μὴν δ᾽ εἴ τι σύνηθες, καὶ συγγενές. δ᾽· γάρ. παρέστιοι· ἐγκάτοικοι, ἔνοικοι, ἔποικοι.

1.250 Πανταχῆ· ὅπη, ὅπου, ὅπου προστάσσει αὐτοὺς ἡ γαστὴρ καὶ ἐν οἷς τόποις ὀρέξει τούτους ὁ ἀπολαυστικὸς καὶ μανικὸς ἔρως τῆς ἀκορέστου τροφῆς. γένυς· στόμα, γνάθον. ἔνθα κελεύει· ἐκ παραλλήλου τὸ αὐτὸ, προστάσσει.

1.251 Λαίμαργος· ἄπληστος. ἔρως· ἐπιθυμία. ἀκόρητος ἀκόρεστος, ἀχόρταστος.

1.252 Ἔξοχα· περισσοτέρως, ἐξόχως. περί· ὑπέρ, περὶ πάντας, πλέον πάντων, ὑπὲρ ἢ παρὰ πάντας τοὺς ἰχθῦς. ἀδηφάγος· σημείωσαι· καὶ ὧδε καὶ ἐν

ἄλλοις δι’ ἑνὸς δ γράφεται τὸ ἀδηφάγος, διότι καὶ τὸ ἄδην, ὃ δηλοῖ τὸ δαψιλῶς, τινὲς μὲν διὰ δύο δδ ἐκφέρουσιν, ἄλλοι δὲ δι’ ἑνός. ἀδηφάγος· ἀκόρητος. οἶστρος· ὄρεξις, κίνησις, μανία. Οἶστρος· ἔρως, μανία, ἐρεθισμὸς, κυρίως δ’ οἴστρός ἐστι ζωΰφιον ἐμφυόμενον ταῖς τῶν βοῶν λαγόσι καὶ ποιῶν ἐκείνους πλανᾶσθαι, καὶ γίνεται ἀπὸ τοῦ οἴω τὸ κομίζω. ἐλαύνει· ἐλαύνω ἐπὶ σιδήρου, ἐπὶ τόξου, ἐπὶ συνουσίας, ἐπὶ διωγμοῦ, ἐπὶ τοίχου.

1.253 Νωδόν περ· ἐστερημένον ὀδόντων, καίπερ ἔχοντας τινὰ τόπον ὑπὸ τὸ στόμα νωδόν. ὑπὸ στόμα· ἐντὸς τοῦ στόματος. χῶρον· τόπον, τόπον τινά.

1.254 Μεγακήτεα· ἴσως μεγάλως, εἰς μεγάλα κήτη διῃρημένα.

1.255 Ξανθοί· πυρροὶ. ἀργεννοί. λευκοί. αἷμα· γένος. κελαινοί· μέλανες.

1.256 Εὐωπούς· εὐοφθάλμους, μεγαλοφθάλμους. αὐλωπούς· ἐπιμήκεις κατὰ τοὺς ὀφθαλμοὺς, καὶ στρογγύλους καὶ ὀξεῖς. Αὐλωποὺς λέγει καὶ τοὺς στενοφθάλμους ἐκ μεταφορᾶς τῶν αὐλώνων· αὐλῶνοι γὰρ οἱ στενότατοι τόποι· ὧδε λέγει τοὺς εὐοφθάλμους αὐλωποὺς, καὶ εὐωποὺς λέγει τοὺς ἔχοντας μεγάλους ὀφθαλμοὺς δίκην αὐλῶν, ὁποῖοί εἰσιν οἱ τῶν παγούρων καὶ τῶν ἀστάκων· οὗτοι γὰρ οὐ βλέπουσιν ἔσω τῶν ὀφρύων, ἀλλά τε δὴ μακροὺς ἔχοντες τοὺς ὀφθαλμοὺς ἐκβάλλουσιν αὐτοὺς ἔξωθεν, καὶ οὕτως θεωροῦσιν ὁμοίως καὶ οὗτοι οἱ ἰχθύες.

1.257 Καθύπερθεν· ὑπεράνω τῶν ὀφθαλμῶν.

1.258 Ὀφρύς· ἀπὸ τοῦ τὸν ὦπα ῥύεσθαι καὶ φυλάττειν ἀπὸ κακοῦ· τρέπεται γὰρ τὸ ω μέγα ποιητικῶς εἰς ο μικρόν. ἠερόεσσα· διαυγὴς, ἢ μελανοειδὴς ἀπὸ τοῦ ἀερῶδες τὸ σκοτεινόν· ὁ γὰρ ἀὴρ φύσει σκοτεινὸς ἄνευ τοῦ ἡλίου. ἠερόεσσα· λεπτὴ, σκοτώδης, μαυρά. περίδρομος· κυκλοειδὴς, κυκλοτερὴς, σκοτώδης. ἐστεφάνωται· ἐπίκειται δίκην στεφάνης, κεκύκλωται.

1.259 Δοιώ· δυσὶ, διπλοῖς. Δοιοί· δύο ἰχθύες, σχῆμα γλυκύτατον. Δοιὼ ὄνομα, ἡ εὐθεῖα τῶν ἑνικῶν δοιός· οἱ γὰρ Δωριεῖς τὴν ἐν τοῖς ῥήμασιν ἀναλογίαν φυλάσσουσι καὶ ἐν τοῖς ὀνόμασι πλεονασμῷ τοῦ ι, γίνεται δ’ ἐκ τοῦ δέω τὸ δεσμεύω δοὸς, καὶ πλεονασμῷ τοῦ ι δοιὸς, ἡ γενικὴ δοιοῦ, ἡ εὐθεῖα τῶν δυϊκῶν δοιώ· ἢ ἐκ τοῦ δύω τοῦ διὰ τοῦ υ ψιλοῦ γίνεται κατὰ διάλεξιν

πλεονασμῷ τοῦ ο καὶ τροπῇ τοῦ υ εἰς ι, ἐκ δὲ τῆς δοιὸς γίνεται δοιὴ καὶ δοιαὶ, καὶ λέγεται
ἐν δοιῇ δὲ σαωσέμεν ἢ ἀπολέσθαι,
τουτέστιν ἐν δισταγμῷ καὶ διχοστασίᾳ. σκληροῖσιν· ὀστρακίνοις. ἀρηρότα· ἡρμοσμένα, συγκεκολλημένα. Ἀρηρότα· ἤτοι πεπληρωμένα τῶν χιτώνων, ἤτοι μὴ ἐλάττονα τῶν χιτώνων, κανονίζεται δ' οὕτως· ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ὁ μέσος παρακείμενος ἦρα, καὶ πλεονασμῷ ..... ἀρῶ, ἀφ' οὗ ὁ μέλλων ἀρέσω, τούτου ὁ παρακείμενος ἦρκα, ὁ μέσος ἦρα, καὶ κατ' ἀναδιπλασιασμὸν ἀττικὸν ἄρηρα, ἡ μετοχὴ ἀρηρὼς ἀρηρότος, τὸ οὐδέτερον ἀρηρὸς, ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀρηρότα. γυῖα· σώματα, μέλη.

1.260 Φραξάμενοι· καθοπλισθέντες, ὁπλισθέντες, ὁπλίσαντες. ἐπί· ἐνί.

1.261 Κάραβος· καραβὶς, τὴν καραβίδα λέγει. ὀξυπαγής· ὀξύκερως, ὀξυβελής, ὀξέως ἡδρασμένος. Ὀξυπαγής· ὁ ὀξεῖας παγὰς, ἤτοι λαβὰς ἔχων, ἢ ὅταν ὀξέως πήγνυται, καὶ ὀξυτάτως πηγνύων, καὶ ἔχων βέλος ὀξὺ, ὀστρακόδερμα δ' εἰσὶν ὁ καραβὸς καὶ οἱ ἀστακοί. ἄμφω· ὁ κάραβος καὶ ὁ ἀστακός.

1.263 Οὕτως ὤφειλεν εἰπεῖν· ὁ ἀστακὸς δὴ οὐκ ἐξέρχεται τῆς οἰκείας θαλάμης, λέγει δὲ τοῦτο ἐγκατάσκευον, ἀλλ' ἐάν τις αὐτὴν ἀνάγκῃ ἑλκύσῃ, καὶ πόρρω ἀπαγαγὼν πάλιν ῥίψῃ εἰς τὴν θάλασσαν, εἰς τὴν αὐτὴν ὑποστρέψει χαράδραν, ἐστὶ δ' ὅλον ἐγκατάσκευον. πέρι· περιττῶς, καὶ περισσῶς καὶ λίαν. πέρι δή τι· δὴ ἀντὶ τοῦ πεσσῶς· ἐγκατάσκευος διήγησις. οὐ φατὸν ὅσσον· σχῆμα γλυκύτατον. οὐ φατόν· οὐ λεκτόν. φατόν· ὀνομαστόν. οἷον· πολὺν καὶ πόσον, μέγαν.

1.264 Θαλάμης· φωλεοῦ, κοίτης, φωλεᾶς. κεύθει· κεύθω τὸ κρύπτω, ἐτυμολογεῖται ἀπὸ τοῦ χάζω τὸ ὑποχωρῶ, καὶ εὔω τὸ φωτίζω, τὸ ἐστερημένον τοῦ φωτός· πᾶν γὰρ κρυπτόμενον ἐς ἀφανῆ τόπον κατάκειται. κεύθει· κρύπτει, ἔχει. φρεσίν· ἔμφυτον γνῶσιν δῆλον.

1.265 Λείπεθ'· καταλιμπάνεται, στερεῖται, μετοικίζεται. ἑκών· φιλεῖ γὰρ τὰ ἴδια. ἀναγκαίῃσιν· βίᾳ. ἀναγκαίη· ἀνάγκη. ἐρύσας· ἑλκύσας, ἀνελκύσας, ἀγρεύσας.

1.266 Τῆλε· μακρὰν ἀπὸ τῆς κοίτης. ἑτέρωσε· ἀλλαχοῦ, ἢ εἰς ἕτερον μέρος θαλάσσης. πόντον· εἰς τόν, εἰς τὴν θάλασσαν. μεθείη· ῥίψει, ἐμβάλη, πέμψει, καὶ ἔμβαλε· εὐκτικόν· κουφίζεται τὸ μι.

Τοῦ Τζέτζου στίχοι κατὰ τρόπον ἐτυμολογικόν.
Ἀθροῦν ὁμοῦ δάσυνε, τὸ θρόον δ' ἄνευ
ψιλῶν ἁμάρτῃς οὐδαμοῦ τέχνης λόγων,
τοὺς βουβάλους δ' ἔασον ἀσκόπως γράφειν.

1.267 Αὐτὰρ οὐδέ· οὐ μετὰ δηρὸν, οὐ μετὰ πολύ. νόστησε· ἐστράφη, κατέλαβεν, ὑπέστρεψεν, καὶ ἐπέστρεψεν. χαράδρην· φωλεὰν, κοίτην, σπήλαιον.

1.268 Σπεύδων· ἀγωνιζόμενος, εὐθέως σπεύδων ἄπεισιν εἰς τὴν κοίτην· οὐδὲ γὰρ ἀγαπῶν ἄλλην κοίτην ἢ διατριβὴν, ἀλλὰ τὴν ἰδίαν, φέρει δ' ὁ ποιητὴς τὸν λόγον αὐτοῦ πρὸς τὸν βασιλέα, αἰνιγματωδῶς λέγων. ἱκέσθαι· ἀφικέσθαι, παραινέσθαι, ἑλέσθαι, λαβεῖν.

1.269 Ἐπιβάλλεται· ἐπιθυμεῖ, καὶ ἐπιλαμβάνει. ἀμφιβάλλεται· ἐπιλαμβάνεται, προσεγγίζει, πλησιάζει. διώκει· ζητεῖ, ἔρχεται, ἐρευνᾷ, ἄλλως ἐπιβάλλεται καὶ ἐπιρρίπτεται πέτραις ἄλλαις, ἢ ἐπιβάλλεται καὶ ἐπιθυμεῖ τινος ἄλλης πέτρας ἢ γαίας.

1.270 Ἤθεα· διατριβὰς, καὶ συνήθεις διατριβὰς, διαγωγάς.

1.271 Κείνης· τῆς πέτρας.

1.272 Τῆς· ἀφ' ἧς, δωρικόν. ἁλίστονοι· οἱ τῇ ἁλὶ πλέοντες· γράφεται ἁλίπλοοι.

1.273 Ὡς ἄρα· οὕτως, δοκεῖ εἰς ἑαυτὸν ταῦτα αἰνίττεσθαι τὸν ποιητὴν διὰ τὸ ἐν ἐξορίᾳ αὐτοῦ τὸν πατέρα εἶναι. ὡς· λίαν· γνώμη· ἐτυμολογικὸν τὸ σχῆμα. Λίαν ἄρα καὶ τοῖς ἰχθύσιν ὁ ἴδιος δόμος καὶ ἡ πατρῷα αὐτῶν θάλασσα ἐν τῇ καρδίᾳ ἐπιβάλλει χαρὰν εὐφρόσυνον· καὶ αὖθις· οὐδ' ἄρα μούνοις τοῖς ἰχθύσιν ἡ πατρίς ἐστι γλυκερώτερον τῶν ἄλλων ἡδέων, ἀλλὰ καὶ τοῖς ἐφημερίοις ἀνθρώποις πάνυ εὐφραντὸν φαίνεται τὸ διατρίβειν εἰς τὸν χῶρον τὸν πατρικὸν, εἰς ὃν αὐτοὶ ἐγεννήθησαν· εἶτα πάλιν φησίν· οὐδὲν πικρότερον καὶ χαλεπώτερον ὑπάρχει, ἢ τὸ εἶναί τινα βροτὸν εἰς ἄλλον τόπον ξένον, καὶ τότε σὺν τούτοις νὰ ἔλκῃ καὶ ζυγὸν ἀτιμίας καὶ νὰ τελεῖ

καὶ τὸν βίον αὐτῶν τὸν φυγάδα ἀλγεινότατον, τοῦτο δ᾽ εἶπεν ὁ ποιητὴς ὑπαινιττόμενος, ὅτι ἀκμὴν ἐν ἐξορίᾳ ἦν ὁ πατήρ. καί· ὑπερβαλλόντως. πλωτοῖσιν· τοῖς πλεομένοις ἰχθύσιν. πλωτῆρσιν· πλεομένοις, ἤως τοῖς ἰχθύσιν. ἑὸς δόμος· ὁ ἴδιος οἶκος· λίαν θαυμαστὸν ὅτι καὶ τοῖς πλώτεσι ὁ ἴδιος τόπος ἐπιθυμητός· ἀποφώνημα.

1.274 Πατρῴη· γενικὴ, ἡ πατρικὴ, προγονική. χῶρος τόπος. ἐφέστιος· ἐγκάτοικος. γένοντο· ἐγεννήθησαν, ἐτράφησαν, εἰς φῶς προῆλθον.

1.275 Στάζει· ἐπιβαίνει, ἐμβάλλει, ἐπιφέρει. γλυκερόν· εὐφρόσυνον. γάνος· βέλος, γλυκεῖαν ἡδονὴν, χαρὰν, ἡδονὴν, ἐπιθυμίαν. μούνοις· λείπει τοῖς ἰχθύσιν, ἀλλὰ καὶ τοῖς ἀνθρώποις δῆλον.

1.276 Πατρὶς ἐφημερίοισιν· δοκεῖ ἐνταῦθα ὁ ποιητὴς εἰς ἑαυτὸν ὑπαινίττεσθαι, ἐπειδὴ γὰρ ἔτι ἐν τῇ ἐξορίᾳ ἦν ὁ πατὴρ αὐτοῦ. ἐφημερίοις· τοῖς προσκαίροις ἀνθρώποις, τοῖς θνητοῖς, τοῖς βροτοῖς. γλυκερώτατον· ἐνήδονον, τερπνόν. ἄλλων· τερπνῶν δηλονότι, παρὰ τῶν ἄλλων πραγμάτων.

1.277 Ἀλεγεινότερον· ἐμπαθέστερον, λυπηρότερον, χειρότερον. κύντερον· χαλεπώτερον, ἀθλιώτερον. ὅς κεν· ὅστις. Σημείωσαι ὅτι ὁ μὲν ὅ κεν, ὅτε οἱ παραπληρωματικοὶ σύνδεσμοι παρ᾽ Ἴωσι καὶ ποιηταῖς ὑποτάσσουσιν. εἰς ἐκεῖνον· ἐνταῦθα τὴν ἐξορίαν τοῦ οἰκείου πατρὸς ὑπαινίττεται· ἀκμὴν γὰρ ἐκεῖσε διέτριβεν. ἀνάγκῃ· σὺν, καὶ ἐν αἰτίᾳ τινί.

1.278 Φυξίπολιν· φυγάδα, ἐξόριστον· γράφεται φύξιν ἀπὸ τοῦ φεύγω· φυγὰς ἐλέγετο ὁ ἐξόριστος, ἤως φυξίπολις, καὶ φυγαδείας. τελέσῃ· ὑπομένει, ὑπομείνῃ. βίον· ζωήν. πόνον· γράφεται βίον, ζωήν. ἀλγινόεντα· θλιβερὸν, ἐπώδυνον· ἐκ τοῦ ἀλγεινὸς ἀποβολῇ τοῦ ε, οὕτως δὲ καὶ τὸ Ποσιδῶν ἐκ τοῦ Ποσειδῶν γινόμενον ὅμως διὰ τοῦ ι γράφεται κατ᾽ ἀποβολὴν τοῦ ε.

1.279 Ξεῖνος· ὢν, ἄνθρωπος, ὑπάρχων ὁ ἄνθρωπος, ἀλλότριος. ἀλλοδαποῖσιν· ξένοις τόποις, ἄλλοις χώραις ἀνθρώποις. ἀτιμίης· ὕβρεως. ἕλκων· βαστάζων.

1.280 Γενεῇ· τῶν καράβων καὶ ἀστακῶν, ἐν ἐκείνῃ τῇ γενεᾷ τῶν καράβων τῶν ἀστακῶν, τῶν καρίδων καὶ τῶν παγούρων. καρκίνοι· ἰδιωτικῶς τζαγανοί.

ἀλῆται· πλανῆται, ὀπισθόδρομοι.

1.281 Νομαί· διατριβαὶ, βοσκαί. ἀναιδέα· ἀναιδῆ, δεινὰ, δυνατά. φῦλα· γένη. παγούρων· παρὰ τὸ ἐν τοῖς πάγοις καὶ ταῖς πέτραις ὀρούειν καὶ ὁρμᾷν, τῶν μεγάλων οἵτινες ὁρμῶσι κατὰ τῶν ἀνθρώπων.

1.282 Οἵ τε καί· καὶ ἐκεῖνοι, οἵτινες. ἀμφιβίοις· τοῖς ἀμφοτέρωθεν τρεφομένοις καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ, τοῖς ἰχθύσι τοῖς ἀμφοτέρωθεν ἔχουσι τὴν ζωὴν, καὶ τοῖς δυσὶν ἤγουν τῇ γῇ καὶ τῇ θαλάσσῃ διατρίβουσιν. ἐναρίθμιον· ὁμοίαν. αἶσαν· μοῖραν, τάξιν.

1.283 Κῶλον· σῶμα, πόδες, καὶ ἡ σάρξ, σὰρξ καὶ τὸ σῶμα, μέλος. ἐστήρικται· ἐσκέπασται, ἡδραίωται, καὶ κατεσκευάσαι.

1.284 Ἐκδύνουσι· ἐκβάλλουσιν, ἀπορρίπτουσιν, οὗτοι ἐκδύουσι καὶ ἐπιρρίπτουσιν. γεραίτερον· παλαιότερον, παλαιὸν, παλαίτερον.

1.285 Σαρκὸς ὑπ᾽ ἐκ· ἀναστροφή. νεάτης· ἐσχάτης. ἀνατέλλεται· ἀναφύεται, καὶ αὐξάνεται, αὐξάνει, ἔξω φέρεται, τοῖς ἐν τῇ θαλάσσῃ καὶ τοῖς ἔξωθεν τῶν αἰγιαλῶν ἢ ἐν τῇ γῇ τρεφομένοις ὑποκάτωθεν μὲν γεννᾶται τὸ ὄστρακον τῆς σαρκὸς, ἔξωθεν δ᾽ ἐστὶ ταύτης· οὐ γὰρ συννέμεται ταύτῃ.

1.286 Ῥηγνυμένοιο· ἀνοιγομένου, καὶ σχιζομένου. βίην· ἀνάγκην, δύναμιν, πόνον. Ἀντίπτωσις ῥηγνύμενος ὁ βίην· βίης ὤφειλεν εἰπεῖν· ὁπόταν φράσσωνται τῆς ἀνάγκης, τινὸς πράγματος γενομένου, σπωμένου τοῦ σκεπάσματος, τοῦ ἐνδύματος, τοῦ ὀστράκου. φράσσονται· νοήσωσιν. ἐλύτρου· σκεπάσματος, σκεπασητος ἀπὸ εἰλύω τὸ ἐπικρύπτω.

1.287 Μαιμώωσιν· ψηλαφῶσιν, ἀναστρέφονται, καὶ τρέχουσιν. ἐδητύος· τροφῆς. ἰσχανόωντες· φροντίζοντες, μεταλαμβάνοντες, ἐφιέμενοι, προνοούμενοι, ἐπιζητοῦντες, βρώσεως ἐπιθυμοῦντες. Ἰσχανόωντες ἀπὸ τοῦ ἔχω ἴσχω τὸ κρατῶ· ὁ γὰρ ἐπιθυμῶν τι πρᾶγμα κρατεῖται ὑπ᾽ ἐκείνου.

1.288 Ῥηιτέρη· εὐκολωτέρα, ἐλαφροτέρα. ῥινοῖο· ὀστράκου, δέρματος. ῥηιτέρη ῥινοῖο· ἵν᾽ εὐχερῶς γένηται. διάκρισις· ἔκδυσις, διαχώρησις, διάσπασις, διάσχεσις. ὄφρα· ἵνα.

1.289 Πλησαμένων· κορεσθέντων, χορτασθέντων, πλαγία σύνταξις· ὅπως πληρωθέντων αὐτῶν τῆς τροφῆς, ἡ διάκρισις ἢ ἡ ἀλλαγὴ τοῦ ὀστράκου εὐκολωτέρα καὶ ἀνώδυνος γένηται, ἵνα εὐχερῶς ἀποβάλλωσι τὸ ἔρκος ἢ τὸ ἔνδυμα· ὅσον γὰρ χορτάζονται, ὑψοῦται ἡ σὰρξ, καὶ ἀποβάλλει εὐχερῶς τὸ ἔνδυμα. εὖτ᾽ ἄν· ὁπηνίκα, ἕως οὗ. διατμαγέν· χωρισθὲν, διαρραγὲν, κλασθὲν, διακοπέν. ἔρκος· ἔνδυμα ἀπὸ τοῦ εἴγρω τὸ κωλύω. ὀλισθῇ· ἐκπέσῃ, καὶ πέση.

1.290 Οἱ δ᾽ ἤτοι· οὗτοι δὴ, ἐκκριθέντος τοῦ ὀστράκου. τέτανται· ἐξήπλωνται, ἐκτέτανται.

1.291 Αὔτως· μάτην, οὕτως, οὕτως πως, ματαίως, ἀναισθήτως, ἄλλως, ματαίως καὶ ἀκίνητον. βορῆς· τροφῆς. μεμνημένοι· διανοούμενοι. οὔτε βορῆς μεμνημένοι· νενεκρωμένοι, ἀνενέργητοι. τευ· τινὸς, ἰωνικὸν καὶ δωρικὸν τοῦ.

1.292 Ἐλπόμενοι· ἐλπίζοντες, νομίζοντες, προσδοκῶντες, ἀγρευθῆναι ἢ ὑπ᾽ ὄρνεων βρωθῆναι, ἢ οὐδὲ θερμὸν καὶ ζωτικὸν ἐμπνέουσιν. φθιμένοισι· φθαρτοῖς, νεκροῖς. θερμόν· ζωτικὸν, καὶ τὸ ζητικὸν τοῦ ἐνομίζοντες.

1.293 Ἔμπνέει· ἀναπνέει, ἐμπνέουσι, ἢ δύνανται ἀναπνεῖν. ἐμπνέειν· ζῆν. δέ· γάρ. περιτρομένουσιν· περιττῶς φοβοῦνται, τρέμουσιν. ἀραιῇ· λεπτῇ, μαλακῇ, ἀσθενεῖ, λεπτοτάτῃ.

1.294 Ἀρτιφύτῳ· οἴκοι ἀναφυομένῳ, νῦν βλαστησάσῃ, καὶ νεόφυς. μετά· σὺν, ὕστερον, μετὰ ταῦτα. ἀγειρόμενοι· ἀνορθούμενοι, συναθροιζόμενοι, ἀγείροντες.

1.295 Βαιόν· ὀλίγον, μικρὸν, μικρὸν νοῦν. θαρσήσαντες· δυναμωθέντες, κουφιζόμενοι ἀπὸ τῆς πολλῆς περιστάσεως καὶ εἰς χρηστὰς ἐλπίδας ἥκοντες καὶ θυμοῦντες ἐπὶ τῇ αὐτῶν ἐπὶ τὸ τέως κρεῖττον μεταβολῇ καὶ ἀνακτήσει τοῦ ὀστρέου. πάσαντο· ἔφαγον ἀπὸ τοῦ πάω ῶ.

1.296 Τόφρα· ἕως τότε, τοσοῦτον, μέχρι τοσοῦτον, ἐν τοσούτῳ καιρῷ, μέχρι δὲ τοσοῦτον τὸν θυμὸν ἔχουσιν ἄπρακτον, ἀδύνατον, ἀνενέργητον, ἕως τὸ νέον σκέπας στερεωθείη. Τὸ τόφρα ἀναφορικὸν καὶ ὡρισμένον, τὸ δ᾽ ὄφρα ἀποδοτικόν. θυμόν· ψυχὴν, τὴν προαιρετικὴν δύναμιν· θυμὸς

λέγεται ἡ ψυχὴ, τρία δέ φασιν αὐτῆς τὰ μέρη· λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικὸν, καὶ τὸ μὲν λογιστικὸν ἐν τῷ ἐγκεφάλῳ καθιδρῦσθαι, τὸ δὲ θυμικὸν ἐν τῇ καρδίᾳ, τὸ δ' ἐπιθυμητικὸν ἐν τῷ ἥπατι· καὶ τοῦ μὲν λογιστικοῦ ἐστιν ἀρετὴ φρόνησις, κακία δ' ἀφροσύνη, τοῦ δὲ θυμικοῦ ἀρετὴ μὲν ἀνδρεία, κακία δὲ δειλία, τοῦ δ' ἐπιθυμητικοῦ ἀρετὴ μὲν ἐγκράτεια, κακία δ' ἀκρασία. ἀμήχανον· ἀδύνατον, τροφῆς καὶ βαδίσεως, ἀσθενῆ, ἄπορον. ἀδρανέοντες· ἀσθενοῦντες· ἀδρανὴς ὁ ἀσθενὴς ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ δρῶ τὸ πράττω.

1.297 Ὄφρα· ἕως οὗ, ἄχρις, μέχρι οὗ, καὶ ἔντοτε. περὶ μελέεσσι· κύκλῳ ὅλων τῶν μελῶν. σκέπας· δέρμα, τὸ σκέπασμα, ἤως τὸ ὄστρακον. ἀμφιπαγείη· στηριχθῇ, στερεωθείη.

1.298 Ἰητήρ· ἰατρὸς, παραβολή. νουσαχθέα· ἄρρωστον, ἀχθόμενον ὑπὸ τῆς νόσου, βεβαρημένον τῇ νόσῳ. κομίζων· ἐπιμελούμενος, ἐπιμελείας ἀξιῶν, θεραπεύων.

1.299 Πρώτοισι· ἐν· ἰωνικόν. βορῆς· τροφῆς. ἀπόπαστον· ἄγευστον ἀπὸ τοῦ πάω πῶ τὸ λαμβάνω. ἐρύκει· κωλύει, κρατεῖ.

1.300 Πήματος· ἐκ τῆς νόσου, τῆς βλάβης. ἀμβλύνων· ἐξασθενῶν, ἐλαττῶν, ἀφανίζων καὶ σβεννύων, ἀφανίζων διὰ τῆς νηστείας τὴν φθαρτικὴν καὶ καυστικὴν δύναμιν τοῦ βλάβους ἤως τῆς νόσου· οὕτως οὗτοι οἱ πάγουροι δεδιότες ἢ μετὰ φόβου ἀνορμῶσιν ἐν τοῖς ὀστράκοις αὐτῶν τοῖς ἄρτι φυτοῖς, ὥστ' ἐκφυγεῖν τὰς κακὰς μοίρας τῆς νόσου. μαλερόν· καυστικὸν, βλαβερὸν, μαραντικόν, ἀφανιστικόν. Μαλερὸν ἀπὸ τοῦ ἀλέα ἡ θερμασία καὶ τοῦ ῥῶ τὸ φθείρω μαρερὸν καὶ τροπῇ τοῦ ἀμεταβόλου ρ εἰς λ μαλερόν· ἢ μαραίνω μαραινὸν μαρανὸν μαλερόν· καὶ σκληρὸν, καυστικὸν ἀπὸ τοῦ μάλα ἐρᾷν τῆς ὕλης. αὐτάρ· δέ. ἔπειτα· μετὰ ταῦτα δέ.

1.301 Τυτθά· μικρὰ, ὀλίγα. ὤρεξε· παρέσχε ἐκ τοῦ παρεπομένου. νοσήλια· βρώματα, θεραπευτικὰ, θεραπευτικὰ τῆς νόσου, σιτία, βρώματα, τὰ τῇ νόσῳ ἐπιτήδεια.

1.302 Ἄτην· βλάβην. γυιοβόρους· βιβρωσκούσας τὰ μέλη, καὶ τὰ γυῖα βιβρωσκούσας. δύας· κακοπαθείας, ὀδύνας, τοὺς πόνους. καθήρῃ·

ἰατρεύση, φαρμακεύσῃ.

1.303 Οἴγ'· οἱ πάγουροι. ἀρτιφύτοισιν· νεωστὶ αὐξανομένοις, ἄρτι φυομένοις, τοῖς ἀρτίως φύτοισιν. ἀΐσσουσιν· ὁρμῶσιν, ἀνορμῶσιν. Ἀναΐσσουσιν· ἐπιμελοῦνται, ἐξ οὗ καὶ ἄναξ παρὰ τὸ ἀνακῶς ἤτοι ἐπιμελῶς ἔχειν πρὸς τὸν ὑπ' αὐτὸν λαόν. ἀναΐσσουσιν· ἐπιμέλειαν ἐπάγουσι τοῖς ἀρτιφύτοις ἐλύτροις. ἐλύτροις· σκεπάσμασιν, ἐπικαλύμμασιν.

1.304 Δειδιότες· φόβον ἔχοντες· δείδω τὸ φοβοῦμαι, δείσω δέδοικα, ὁ μέσος δέδια, ὁ δεδιὼς, καὶ πλεονασμῷ τοῦ ι ὁ δειδιώς δειδιότες· καὶ φοβούμενοι. νούσοιο· καὶ ἀρρωστήματος. κῆρας· μοίρας, καὶ θανατηφόρους. ἀλύξαι· ἐκφυγεῖν, φυγεῖν.

1.305 Ἑρπυστῆρες· βαδισταὶ, βαδιστικοὶ, συρόμενοι, καὶ σκολιῶς κατὰ τοὺς ὄφεις βαδίζοντες. ἐναύλοις· μυχοῖς, στενωτάτοις τόποις. ἐναύλους· καταδύσεις, καὶ τὰς καταδύσεις στενάς.

1.306 Πουλύποδες· λέγω, τὰ ὀκταπόδια. σκολιοί· κακοὶ, δύσκολοι, καὶ οἱ διεστραμμένοι.

1.307 Ἐχθομένη· μισουμένη, μεμισημένη. σκολόπενδρα· ψαλίς. ὀσμύλος· μοσχίτης. αὐτοί· οὗτοι.

1.308 Ἀμφίβιοι· ἐν θαλάσσῃ, ἤως ἐν τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ. ἴδεν· εἶδεν. ἀγροιώτης· ἐν τῷ ἀγρῷ οἰκῶν, ἐν τῷ ἀγρῷ ὤν.

1.309 Γηπόνος· γεωργὸς, τῇ γῇ προσκείμενος. ἀγχιάλοισι· πλησιοθαλάττοις, τοῖς πλησίον αἰγιαλοῖς. φυτηκομίῃσι· γεωργίαις. φυτηκομίῃσι μεμηλώς· ἤως ἐργαζόμενος ταῖς ἐλαίαις· ἢ φυτηκομιῶν ὁ φροντίζων· φυτηκομία γάρ ἐστιν ἐπιμέλεια τῶν φυτῶν. μεμηλώς· ἐπιμελούμενος, προσμένων, προσκείμενος, μέλω μελῶ μέμαλκα, ὁ μέσος μέμηλα, ἡ μετοχὴ ὁ μεμηλώς.

1.310 Ὀσμύλον· μοσχίτην, ἐθεάσατο. εὐκάρποις· καλλοκάρποις. πούλυπον· ὀκτώποδα. κράδοισι· κλάδοις. κράδῃσι· συκαῖς, συκέαις· κράδη κυρίως τὸ ἄκρον τῆς συκῆς, λαμβάνεται ἀντὶ συκῆς.

1.311 Πλεγνύμενον· πεπλεγμένον, συμπλεκόμενον, περιπεπλεγμένον, καὶ πλεκτικόν. γλυκερόν· γλυκέων. ἔδοντα· ἐσθίοντα.

1.312 Μεθ'· ἐν, σὺν τούτοις. ἑρπυστῆρσι· συρομένοις. Ἑρπησταὶ ἰχθύες λέγονται οἱ μὴ βυθίοις ἑαυτοὺς ἐπάγοντες κατὰ τῆς θαλάσσης, κατὰ τῆς θαλάσσης κύματα πλευστικῶς περῶντες, ἀλλ' ἠρέμα πως βαδίζοντες καὶ ἡσύχως, τοῖς ἐπιπολαίοις καὶ στενωτάτοις μέρεσι τῆς θαλάσσης καὶ τοῖς αἰγιαλοῖς διατρίβοντες καὶ οἰκοῦντες στεναῖς καταδύσεσι καὶ χωρήμασι τῶν πετρῶν, οὗτοι δ' εἰσὶν οἱ μαλακόστρακοι ὡς ἐπὶ πλεῖστον καὶ οἱ ἀνόστεοι πάντες, οἵτινες καὶ μαλάκια φατίζονται, ἤως λέγονται, οἱ δ' ὀστέοις συνόντες, μὴ ἔχοντες λέπια ἢ φολίδας ζωτικῶς σελάχεια λέγονται, καθὼς ὁ ποιητής φησιν, οἵτινες κατὰ τοῦ πόντου βαθύτατα μέρη διὰ παντὸς, καὶ οὐκ ἄλλο τι μέρος τῆς θαλάσσης πνευστικῶς διαπερῶσιν. Τοῖς δ' ἴσον· προσυπακουστέον· τοῖς πολύποσιν ὅρμημα, τοῖς πολύποσιν, λείπει ὅρμημα. οἶμα· ὅρμημα, βάδισμα ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, καὶ ὤφειλε δασύνεσθαι, ἀλλὰ λέγει ὁ κανὼν, ὅτι αἱ παραγωγαὶ ἀμείβουσι τὰ πνεύματα. δολόφρων· πανοῦργος· οὕτως ἐλέχθη δολόφρων, ὡς δολίως καὶ πανούργως φρονοῦσα· δολιεύει γὰρ τῷ ἁλιεῖ, μέλλουσα κρατεῖσθαι ὑπ' αὐτοῦ τῷ ἐκχέειν ἐν τῇ ἁλὶ τὸ αὐτῆς μέλαν, ὅπερ ἐνδομυχεῖ καὶ τὸν πόντον μελαίνει καὶ αὐτὴν κατακρύπτει· διὰ τοῦτο γοῦν ἐκλήθη δολόφρων.

1.313 Φῦλα· γένη, πλήθη. μετ'· ἐν. οἴδμασιν· κύμασιν. ὀστρακόρινα· ἔχοντα ὄστρακα· ὄστρακον ἀπὸ τοῦ ὀστοῦν καὶ τοῦ ῥάκος τὸ δέρμα, ἵν' ᾖ ὄστρακον ῥάκος καὶ δέρμα ὀστῶδες, ὀστοῦν δ' ἀπὸ τοῦ ἵστημι, στήσω. Ὅτι ὀστρακόδερμα κατονομάζονται τὰ γένη τῶν ὀστρέων, τῶν στρόμβων, τῶν πορφυρῶν καὶ κηρύκων καὶ τῶν ἐχίνων, ταῦτα δὲ λέγεται μήτ' ἄρσενα εἶναι, μήτε θήλεα.

1.314 Νέμονται. γράφεται καὶ φύονται φῦλα.

1.315 Νειρίται· κοχλίαι. Νειρίτης ὁ κόχλος ὁ θαλάσσιος, καὶ οἱ μὲν λέγουσιν, ὅτι παρὰ τὸ νειρεύς ἐστι, καὶ ὤφειλε γράφεσθαι διὰ διφθόγγου, ὡς Ἀκαρνεὺς, Ἀκαρνείτης, οἱ δ' ἐκ πεζῶν νήχεσθαι νηρὸς καὶ νηρίτης διὰ τοῦ η καὶ ι ἐκφέρεσθαι λέγουσιν, κρεῖττον δ' ἐστὶ διὰ διφθόγγου

ἐκφέρεσθαι τὸ νει ἀπὸ τοῦ νειρεὺς ὁ κόχλος. στρόμβων· τῶν λιβαδίων ἢ τωνωτονίων, χηβάδων. πορφύραι· οἱ κόχλοι, ἥως αἱ κοτύλαι.

1.316 Μύες· ὀμύδια. ἀτρεκές· ἀληθινόν. οὔνομα σωλήν· ὄνομα σωλῆνι.

1.317 Ἐρσήεντα· δροσώδη, ἁπαλὰ, ὑγιῆ. τερσήεντα· τὰ σκληρά. ὀκριόεντες· χαλεποὶ, τραχεῖς, τραχύτατοι. ὀκριόεντες· φρικώδεις διὰ τὸ τραχὲς τῶν κέντρων. ἐχῖνοι· ἐχῖνος τὸ ζῶον παρὰ τὸ συνέχεσθαι στρογγυλούμενον, καθ' ὁμοιότητα δὲ τοῦ χερσαίου ἐχίνου καὶ ὁ θαλάσσιος λέγεται· στρογγύλος γὰρ καὶ αὐτὸς καὶ ἀκανθώδης, ὥσπερ καὶ ἀπὸ τῶν ἐναγρίων κατὰ ποιότητα σχήματος καί τινα τῶν θαλασσίων καλοῦμεν, ὡς μετ' ὀλίγον λεχθήσεται παρὰ τῷ ποιητῇ.

1.318 Τυτθά· μικρὰ, σμικρά. διατμήξας· διακόψας, κόψας, διαμερίσας.

1.319 Συμφυέες· συνηρμοσμένοι, ὁμοῦ. παλίζωοι· αὖθις ζῶντες. παλίνζωοι· ἐκ δευτέρου ζῶντες, ζῶντες. νέμονται· κινοῦνται.

1.320 Καρκινάσι· παγουρομάναις. ὄστρακον· ἔλυτρον. οὔτι· οὐδαμῶς. πέφυκεν· ἀναβλαστάνει. οὔτι πέφυκεν· οὐδ' ὅλως ἀπὸ φύσεως ὑπάρχει, ὅτι οὐκ ἴδιον αἱ καρκινάδες ἔχουσιν ἔλυτρον, ἀλλ' ἀλλότριον· νόθον γὰρ σκέπας, ἤτοι ἀλλότριον οἶκον καὶ σκέπασμα ἐπιμηχανῶνται. τρία ζῶα ἀναίμων ἐν τῇ θαλάσσῃ· τὰ μὲν λέγονται μαλάκια, ὡς σηπίαι, τὰ δὲ μαλακόστρακα, ὡς οἱ πάγουροι, τὰ δ' ὀστρακόδερμα, ὡς τὰ ὄστρεα· τῶν ἐναίμων τὰ μὲν λέγεται σελάχια, ζωοτοκοῦσιν, ὡς τρυγὼν, βοῦς, γαλεὸς, δελφὶν, καὶ τὰ τοιαῦτα, τὰ δὲ λεπιδωτὰ, τὰ δὲ φολιδωτὰ, καὶ ὠοτοκοῦσιν, ὥσπερ καὶ τὰ μαλάκια καὶ τὰ μαλακόστρακα.

1.321 Ἀφαυραί· ἀσθενεῖς. Ἀφαυρὸς ἀπὸ τοῦ φῶ τὸ λέγω, ὁ μέλλων φάσω γίνεται φαρὸς καὶ πλεονασμῷ τοῦ υ γίνεται ἀφαυρὸς, ὁ μὴ δυνάμενος δι' ἀσθένειαν εἰπεῖν τι.

1.322 Κτητούς· ξένους, ἀλλοτρίους. δόμους· οἰκίας. ἐπιμηχανόωνται· εὑρίσκουσιν, ἐξευρίσκουσιν, ἐπικτῶνται.

1.323 Ἀβληχροῖς· ἀσθενέσιν. νόθον· ξένον. Νόθος· παρὰ τὸ ὀνῶ τὸ μέμφομαι γίνεται ὄνοτος, καὶ ἀποβολῇ τοῦ ο καὶ τροπῇ τοῦ τ εἰς θ νόθος. σκέπας·

οἶκον, σκέπασμα. σκέπας· τὸ πας μακρόν ἐστιν, ὅτι πᾶσα ἀποκοπὴ μακροκατάληκτός ἐστιν, ἐνταῦθα δὲ βραχὺ τοῦτο ἐδέξατο διὰ τὸ μέτρον. ἀμφιβαλοῦσαι· ἐνδυθεῖσαι, περιβαλοῦσαι. Βάλω τὸ ἐνδύομαι ἀπὸ τοῦ βῆλος τὸ βλαττίον, τὸ δὲ βάλλω τὸ τιτρώσκω ἀπὸ τοῦ βλῶ βλήσω, ἐξ οὗ καὶ βλητὴς καὶ προβλῆτες αἱ ὕφαλοι πέτραι.

1.324 Ἀθρήσωσι· βλέψωσι, καὶ ἴδωσιν. λελειμμένον· καταλειφθὲν, ἐναπομεῖναν. ὀρφανόν· ἐστερημένον· ὀρφανὸς λέγεται ὁ ἄνις ὀρόφου, ἢ ὁ ἐστερημένος οἰκίας. ὀρόφου ἄνις ἤτοι χωρὶς ὀστρέου. αὔτως· μάτην.

1.325 Οἰκητῆρος· τοῦ οἰκιστοῦ. ἀνέστιον· ἄοικον. οἰχομένοιο· ἀναχωρήσαντος, φθειρομένου, τελευτήσαντος, φθαρέντος.

1.326 Καταδῦσαι· ὑπεισελθοῦσαι, εἰσελθοῦσι. ἐλύτροις· ὀστράκοις.

1.327 Ἑζόμεναι· καθήμεναι. μέλαθρον· οἴκημα, φωλεόν.

1.328 Τῷδε· σὺν τούτῳ ὀστράκῳ. συνερπύζουσι· συμβαδίζουσι, βαδίζουσιν, ἀναστροφή. ἔνδοθεν· ὄντες, οὖσαι. ἕρκος· περίφραγμα, στήριγμα.

1.329 Νειρίτης· κοχλίας. κήρυξ· κογχύλη.

1.330 Στρόμβων· ἐπαναστροφὴ κατὰ λέξιν, χηβάδων. δύσεις· οἰκίας, οἰκήσεις, καὶ τὰ ὄστρακα.

1.331 Κοῦφαι· ἐλαφραὶ, εὐκίνητοι. φέρεσθαι· εἰς τό.

1.332 Ἀεξομένη· τὸ πλάτος. πλήσῃ· πληρώσῃ, γεμίσῃ. μυχόν· ὄστρακον.

1.333 Ἔχει· οἰκεῖ, κατοικεῖ. δόμον· ἢ τὸ ὄστρακον.

1.334 Δίζεται· ζητεῖ, ψηλαφᾷ. εὐρύτερον· πλατύτερον. κύτος· πλάτος, χώρημα, τὴν θέσιν. ἀμφιβαλέσθαι· εἰς τὸ, περιβαλεῖν, σκεπασθῆναι.

1.335 Πολλάκι· αἰολικόν· ἀναστροφή. γλαφυρῆς· βαθείας· γλαφυρὸν σημαίνει δύο τὸ κοῖλον, ὡς ἐνταῦθα, καὶ τὸ γλυκύ. γλαφυρῆς· τὸ βαθὺ ἀπὸ τοῦ γλάφω τὸ κοιλαίνω, κυρίως δὲ τὸ λίαν γλυκύ· γλαφυρῆς· παρὰ τὸ ἐκεῖσε βαίνειν τὸ κέλυφος· γράφεται καὶ κέλυφον. κύμβος· κόχλου, κατοικίας,

ὀστράκου, οἰκίας, μύλου. μονῆς· κύμβη τὸ ποτήριον, καταχρηστικῶς δ’ ἐνταῦθα τὸ ἔλυτρον.

1.336 Ἀλκή· δύναμις, πόλεμος, μάχη. μέγα νεῖκος· μεγάλη φιλονεικία. νεῖκος· φιλονείκημα. ἐγείρεται· παρακινεῖται. ἐκ δ’ ἐλάσασα· ἐκδιώξασα, ἀποδιώξασα.

1.337 Κρείσσων· ἡ μεγαλωτέρα, ἡ ἰσχυροτέρα. χειροτέρην· τὴν μικροτέραν, τὴν ἀσθενεστέραν. ἄρμενον· ἁρμόδιον. ἀμφέθεθ’· περιεκαλύψατο, περιέθετο.

1.338 Γλαφυρῷ· βαθυτάτῳ, κοιλῷ. κεκαλυμμένος· ἐσκεπασμένος.

1.339 Μορφήν· κατὰ τὸ εἶδος. ἀλίγκιος· ὅμοιος.

1.340 Οἰκείῃσιν· τοῖς ἰδίοις ἔργοις. ἐπικλέα· κλῆσιν ἔχοντα, ὀνομαζόμενον, ἐπώνυμον. ναυτιλίῃσι· δια ταῖς αὐτοῦ πλεύσεσιν. ὁ ναυτίλος ἀνέρχεται ἐκ τοῦ ὕδατος τοῦ βάθους μέχρι τῆς ἐπιφανείας, πρηνὴς, ἐπειδὴ ἔχει κοιλότητας κατὰ τὴν γαστέρα. ἵνα γοῦν μὴ εἰσερχομένου τοῦ ὕδατος ἐμπλησθῇ τὰς κοιλότητας, καὶ οὕτω γένηται ὑποβρύχιος, διὰ τοῦτο φεύγων τὸν κίνδυνον στρέφει ἑαυτὸν ὕπτιον καὶ ἀνέρχεται ὕπτιος, καὶ εἰς τὴν ἐπιφάνειαν ἄνω τῆς θαλάσσης γενόμενος ἀνατείνει τοὺς ἔμπροσθεν δύο πόδας ὥσπερ ἱστοὺς ἄνω. Ἀνέρχεται εἰς τὸ ἐπιπόλαιον ὕδωρ ἐπὶ πρόσωπον καὶ ἄνω τὸ ὀστρακῶδες καὶ κοῖλον ἔχων αὐτοῦ σκέπασμα, μήπως αὐτὸν γεμίσῃ ἡ θάλασσα.

1.341 Ναίει· ὃς, κατοικεῖ. ψαμάθοις· ἐν τοῖς. ψαμάθους· τάς. ἀνὰ δ’ ἔρχεται· ἀναβαίνει. ἄκρον ἐς ὕδωρ· κατὰ τὴν ἐπιφάνειαν, ἐπάνω θαλάσσης.

1.342 Πρηνής· ἐπὶ πρόσωπον, ἐπίκυφος. ὄφρα κε· ἵνα, ἕως οὗ ἄν. μιν· κοιλότητα ἣν ἔχει περὶ τὴν γαστέρα, αὐτόν.

1.343 Ἀναπλώσειε· ἀνέλθῃ, ἑαυτὸν, καὶ ἀναπλεύσῃ, ἄνω πλεύσῃ, ἄνω πετάσῃ. ῥοθίων· κυμάτων, τῶν ῥευμάτων. ὑπέρ· ὑπεράνω. ἀμφιτρίτης· τῆς θαλάσσης.

1.344 Αἶψα· ταχέως· ἐκ τοῦ ἵπτω τὸ πέτομαι, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀΐπτω τὸ λίαν πέτομαι, ὁ μέλλων ἀΐψω καὶ ἐξ αὐτοῦ ἐπίρρημα αἶψα.

μεταστρεφθείς· μετακινηθείς. μετά· περί. ὥστ'· καθά. ἀκάτοιο· ἐπὶ πλοίου, νηός.

1.345 Ἴδρις· ἐπιστήμων, ἔμπειρος. δοιούς· τοὺς δύο, διπλοῦς. ὥστε· ἔκφρασις. κάλωας· σχοίνους.

1.346 Ἀντανύει· ἐξαπλοῖ, ἐπὶ τῆς θαλάσσης, ἐξαπλοῖ, ἄνω ἀνατείνει. διαρρέει· διατρέχει, ἐξαπλοῦται, ὑψοῦται. Μέσος δὲ διαρρέει· ἐξήπλωται, διαχεῖται, καθά περ ἄρμενον. λαῖφος· ἄρμενον.

1.347 Ὑμήν· δέρματος πτέρυξ, ἡ λεγομένη τζίπα. Λεπτὸς ὑμὴν, ὃν διατείνει εἰς τύπον ἀρμένου, τοὺς ἄλλους δὲ δύο πόδας ἔχει ὄπισθεν, οὓς σύρει εἰς τύπον αὐχενίων, καὶ οὕτως ὥσπερ ναῦς ὑπ' ἀνέμου φέρεται· ἡνίκα οὖν θεάσηται ἢ θηρίον ἢ ἄλλο τι βλάπτον, δέχεται ἐν τῇ κοιλότητι αὐτοῦ τὸ ὕδωρ, καὶ οὕτως βαπτίζεται καὶ ἐκφεύγει, τὸ δὲ τιταίνεται ἀντὶ τοῦ ἐξαπλοῦται, πνεύματος πληροῦται. τιταίνεται· ὀγκοῦται, ἐξαπλοῦται, ἐκτείνεται. αὐτάρ· δέ.

1.348 Δοιοί· πόδες ἀπὸ κοινοῦ. ψαύοντες· ἁπτόμενοι, προσεγγίζοντες. οἰήκεσσι· πηδαλίοις, αὐχενίοις.

1.349 Πομποί· ὄντες, ὁδηγοὶ, κομισταὶ, ὑπάρχοντες. ἰθύνουσι· προοδοποιοῦσιν, ὁδηγοῦσιν. δόμον· τὸν οἶκον, τὸ ὄστρακον. νῆα· τὴν ναῦν. ἰχθύν· περίφρασις. δόμον καὶ νῆα καὶ ἰχθύν· ἢ αὐτὸν τὸν ἰχθὺν περιφραστικῶς. Ὡς πόμποι δόμον ἰθύνουσιν, ἰθύνουσί φησι τὸν καὶ νῆα ὄντα καὶ ἰχθὺν, καὶ πηδάλιον, καὶ δόμον· ἢ ἐκεῖνον τὸν δόμον καὶ νῆα αὐτό φησι τὸ ὄστρακον ὃ φορεῖ καὶ ᾧ πλέει, ὅτε δὲ βλάβην τινὰ ἐπαγομένην αὐτοῦ νοήσει ....

1.350 Ἀλλ' ὅτε φοβηθῇ ἐγγὺς ἐρχόμενον τὸ κακόν· ὁπόταν δὲ φοβηθῇ, οὐ συμφέρεται τῷ ἀρμένῳ, βαρυνόμενος δὲ καθέλκεται, κατασύρεται, κατασπᾶται, κατέρχεται, πολὺ κῦμα ἔσω τοῦ ὀστράκου δέχεται, ἵνα βολίσῃ. Ταρβήσει· φοβηθῇ, δειλιάσει. σχεδόθεν· ἐκ τοῦ σύνεγγυς, πλησίον. ἀήταις· τοῖς ἀνέμοις. φροντίζοντες.

1.351 Ἐπιτρέψας· ἀνατεθεικὼς ἑαυτὸν, τεθαρρηκὼς, θαρρῶν, μετακινηθεὶς, δὸς ἑαυτόν. ἐπιστρέψας· ἐμπιστευθείς, παραχωρηθείς. ἔσπασε· ἐχάλασεν, ἔσω

ἔλαβεν. σὺν δ’ ἔσπασε· ἐν δ’ ἔσπασε, συνῆξεν.

1.352 Ἰστία· τὰ κατάρτια. οἴηκάς τε· αὐχένιά τε. ἀθρόον· ὅλον, ὁμοῦ.

1.353 Κῦμα· τὸ κῦμα ἔσωθεν τοῦ ὀστράκου δέχεται. βαρυνόμενος· ὑπὸ τοῦ ῥεύματος δηλονότι. καθέλκεται· κάτω ἔρχεται, σύρεται, ὅπως.

1.354 Ὦ πόποι· φεῦ· θαυμαστικὸν, ἀποστροφὴ μετ’ ἐκπλήξεως· φεῦ θεοί· ἔποποι γὰρ οἱ θεοὶ, καὶ κατ’ ἀφαίρεσιν τοῦ ε πόποι. Ὦ πόποι· φεῦ τοῦ θαύματος, ὦ θεοὶ, ὦ ἄνδρες ....ἡ ἐκπληκτικόν. ὅς· τίς. Ὦ πόποι ὅς· ὅστις πρῶτον τὰ ὀχήματα τῆς θαλάσσης εὗρε, τουτέστι τὰ πλοῖα· ἢ τίς τῶν ἀθανάτων θεῶν ὑπενόησε τὴν τέχνην; ἢ Ἀθηνᾶ, ὅτι λέγουσι ταύτην εἶναι ἐφευρέτριαν τῶν τεχνῶν· οὐκ οἶδα· εἰ δέ τις ἄνθρωπος — διὰ τὸν Φέρεκλον λέγει —, ὄντως ἀπ’ αὐτοῦ τοῦ ἰχθύος εἶδε τὴν τέχνην, καθὼς καὶ οὗτός φησι, τοῦτον ἰδόντες οἱ ναυπηγοὶ κατεσκεύασαν νῆας. πρώτιστος· πρῶτος. ὄχους· ἢ πλοῖα, ἅρματα· ὀχήματα τῆς θαλάσσης τὰ πλοῖα, τὰ δὲ τῆς γῆς ἅρματα οἱ ἵπποι· ἔστι δὲ τὸ νῆας ἐφερμηνευτικόν· τὰ ἱστία πετάσας, καὶ ἁπλώσας ταῖς πνοαῖς τοῦ ἀνέμου ἐκ τῶν σχοινίων, τὰ δ’ αὐχένια καὶ τοὺς οἴακας ὄπισθεν.

1.355 Ἀθανάτων· θεῶν. ἐπεφράσατ’· ἐνόησεν. ἀνήρ· ἄνθρωπος.

1.356 Τολμήεις· τολμηρός. ἐπεύξατο· ἐθάρσησεν, ἐκαυχήσατο.

1.357 Ἦ που· ὄντως δή. ἴκελον· ὅμοιον.

1.358 Δουροπαγές· ξυλοκατάσκευον, τὸ κατασκευασθὲν ἐκ ξύλων, ἐκ ξύλων εἰργασμένον. τόρνωσε· κατεσκεύασεν. τὰ μέν· τὰ ἱστία. πνοιῇσι· τοῦ ἀνέμου δηλονότι, καὶ ἀναπνοαῖς τῶν ἀνέμων. πετάσας· ἐξαπλώσας. Τὰ μὲν πνοιῇσι· τὰ ἱστία ἐκ προτόνων τοῦ ἀνέμου ταῖς πνοαῖς ἁπλώσας.

1.359 Προτόνων· σχοινίων. τὰ δ’ ὄπισθεν· κατασκευάσας, τὰ αὐχένια, ἢ τὰ κυβερνητήρια αὐτά. χαλινωτήρια· οἴακας, ὥστε, ὁδηγούς.

1.360 Ὀμβριμόγυια· ἰσχυροσώματα, μεγαλοσώματα. ὀβριμόγυια· βαρυμελῆ· ὄβριμον παρὰ τὸ βρι, ἐπιτατικὸν μόριον κατὰ πλεονασμὸν τοῦ ο καὶ παραγωγὴν, ὄβριμος ὁ πάνυ ἰσχυρός· ἢ ἀπὸ τοῦ Βριμῶ ἡ Περσεφόνη, καὶ κατὰ πλεονασμὸν τοῦ ο ὄβριμον τὸ φοβερὸν καὶ καταπληκτικόν.

ὀμβριμόγυια· μεγάλα, ἰσχυρά. πελώρια· πελώριον τὸ μέγα ἀπὸ τοῦ πέλας εἶναι ὄρους, ἢ πελάζειν τῷ Ὠρίωνι. πελώρια· μεγάλα, πέλας ὄρη ὄντα ἢ πελάζοντα Ὠρίωνι, ἢ πελάζονται ὥρῃ καὶ φροντίδι πελώρια· μεγάλα, ἰσχυρά· πελώριος ὁ μέγας ἀπὸ τοῦ πελάζειν οἱονεὶ τῷ Ὠρίωνι ἢ τῷ ἄστρῳ ἢ τοῖς ὄρεσιν ἡ ἀπὸ τοῦ πελάζειν τῇ ὥρᾳ καὶ τῇ φροντίδι· τὰ γὰρ μεγάλα φροντίδος εἰσὶν ἄξια. πελώρα· μέγιστα, ἢ τὰ πέλας ὄρη κατὰ τὸ μέγεθος.

1.361 Ἀλκῇ· δυνάμει. ἀμαιμακέτῳ· ἀκαταπονήτῳ, ἀπληρώτῳ, πολλῇ, ἀμετρήτῳ, ἄγαν μαιμώσῃ, ἢ μεγάλῃ καὶ ἐπιμήκει ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου καὶ τοῦ μᾶκος, ὃ δηλοῖ τὸ μῆκος δωρικῶς, ὅθεν καὶ ἀμάκετον καὶ διπλασιασμῷ ἀμαμάκετον καὶ ἀμαιμάκετον· καὶ χίμαιρα παρὰ τῷ ποιητῇ ἀμαιμάκετος. βεβριθότα· βαροῦντα, βαρυνόμενα· βεβριθότα παρὰ τὸ βρι ἐπιτατικὸν κατὰ πλεονασμὸν τοῦ ο καὶ παραγωγήν· ὄμβριμος ὁ πάνυ ἰσχυρός. δεῖμα· φόβον. ὄσσοις· ὀφθαλμοῖς.

1.362 Εἰσιδέειν· ἰδεῖν. ὀλοῇ· ὀλεθρίᾳ. κεκορυθμένα· ὡπλισμένα, καθωπλισμένα. λύσσῃ· μανίᾳ, ἀγριότητι, τῇ μανιώδει ὁρμῇ.

1.363 Εὐρυπόροισιν· πλατυτάτοις κύμασι, μεγάλοις. ἐνιστρέφεται· διέρχονται.

1.364 Ἀτέκμαρτοι· ἄγνωστοι, ἀπέραντοι, ἀπλήρωτοι. Ἀτέκμαρτοι· ὧν οὐκ ἐστι τέκμαρ ἤως τέλος, ἢ ὧν οὐκ ἔστι τεκμαίρεσθαι. περιωγαί· καταγωγαί· περιωπαί· καταδύσεις. ἀτέκμαρτοι περιωπαί· τῆς θαλάσσης αἱ ἀπέρανται περισκοπήσεις, αἱ μεγάλαι, αἱ ἀπλήρωτοι, ἀτελείωτοι, ὑψηλαὶ κατοικίαι.

1.365 Παῦρα· ὀλίγα κήτη, παύεσθαι ῥεῖα. ῥηγμίνων· αἰγιαλῶν, ἐπὶ τῶν αἰγιαλῶν. Ῥηγμὶν ὁ αἰγιαλὸς, ἐν ᾧ ῥήσσονται τὰ κύματα. σχεδόν· πλησίον. ἔρχεται· λείπει ἀπὸ τῶν κητῶν. φέρουσιν· βαστάζουσιν.

1.366 Ἠιόνες· οἱ αἰγιαλοί. βαρύθοντα· μεγαλοκήτη, βαρυνόμενα, καὶ βαρέα, μεγάλα ὄντα ἤτοι καὶ βαρεῖα ὄντα. Ἠιόνες βαρύθοντα· ὅσα δύνανται ἐπενεγκεῖν οἱ αἰγιαλοὶ καὶ οὐ λείπεται ὕδατος, ἀλλ᾽ ἀρκοῦσιν εἰς τὸ βαστάζειν αὐτά. ὥσπερ νέμω νεμέθω, φλέγω φλεγέθω, φθίνω φθινύθω, οὕτω καὶ βαρῶ βαρύθω. ἀπολείπεται· στερίσκονται. Οὐκ ἀπολείπεται ἅλμης· καὶ οὐδαμῶς φησι τῆς θαλάσσης εἶδός τι κήτους ἐξέρχεται ἐπὶ τοῦ αἰγιαλοῦ, τὴν ἤπειρον ἀπολιμπάνει τελείως, ἀλλ᾽ εἰς ὅσον βαστάζεται

ὕδωρ, εἰς ἐκεῖνο καὶ ἐξέρχεται κῆτός τι καὶ οὗτος ἐκ τῶν ἐλαχίστων καὶ μικρῶν, ἐκ δὲ μεγάλων καὶ περιβοήτων οὐδόλως, ἀλλὰ διὰ παντὸς τοῖς πελάγεσσι διατρίβονται, ἐμφωλεύουσι καὶ κατοικοῦσιν.

1.367 Τῶν· ἀπὸ τούτων τῶν κητῶν, εἰσὶ, ὧν, ἀπὸ τῶν ὅλων ἤως κητῶν. κρυόεις· χαλεπός. κρυεός· θανατηρὸς, φρυκτὸς, ἰσχυρός· γράφεται κρυόεις. Λέοντα εἶπε κρυόεντα πρὸς ἀντιδιαστολὴν τοῦ χερσαίου λέοντος, ὃν αἴθωνα οἱ ποιηταί φασιν· οὗτος εἶπε τῆς θαλάσσης. βλοσσυρή· καταπληκτικὴ καὶ πληκτική.

1.368 Παρδάλεις· ἰχθύων εἴδη. παρδαλῆ δὲ τὸ δέρμα αὐτῆς· πάρδαλις ἀπὸ τοῦ πέρδω καὶ τὸ ἄλλομαι τὸ πηδῶ, ἡ ἐν τῷ ἄλλεσθαι πέρδουσα· ὀλοαί· ὀλεθρίαι, ὀλέθριοι. φύσαλοι· εἶδος κήτους, μεγάλοι βάτραχοι. Φύσσαλοι οἱονεὶ πτύσσαλοι ἀπὸ τοῦ πτύειν τὴν ἅλα. αἰθυντῆρες· ὁρμητικοὶ, καυστικοὶ, διάπυροι· αἰθύσσω γὰρ τὸ διαπύρως καὶ ὀξέως ὁρμῶ.

1.369 Ἐν δέ· τούτοις δηλονότι, σὺν τούτοις. ζαμενές· λίαν ὀργίλον, ἄγαν ὀργίλον, ἄγριον, ὁρμητικόν. δαφοινή· ἄγαν φονική· δαφοινὸν τὸ ἄγαν φονικὸν ἐκ τοῦ δα ἐπιτατικοῦ μορίου καὶ τοῦ φόνος. δαφοινή· ἄγαν ὀλεθρία, δυνατωτάτη, ἢ ἡ κοπτικὴ, ἢ ἡ μέλαινα, ἡ ἐρυθρά.

1.370 Πρῆστις· βασιλίσκος. ἀταρτηρῆς· βλαπτικῆς, ἀναιδοῦς, ἀκαταπονήτου· ἀταρτηρὸν τὸ βλαβερὸν ἀπὸ τοῦ ἄτη ἡ βλάβη, ἀτηρὸν καὶ κατ' ἀναδιπλασιασμὸν ἀταρτηρόν. δυσαντέα· κακοσυνάντητα, δυσαπάντητα, τὰ δυσμενῆ συναντήματα. χάσματα· καὶ φοβήματα ἐκ τοῦ χάζω τὸ ὑποχωρῶ, ἃ ἰδών τις χάσσαιτο καὶ ὑποχωρήσει, ἀνοίγματα· περίφρασις. λάμνης· ὄνομα κήτους, θαλάσσης.

1.371 Μάλθη· μαλθακή. Μάλθη τ' οὐ μαλακῇσιν· οὐ γὰρ ταῖς μαλθακαῖς ἀδρανίαις ἐπώνυμος, ἀλλ' ἰσχυρά ἐστιν, οὐ πρὸς τὸ ὄνομά ἐστιν ἡ μάλθη· μάλθη κυρίως τὸ εὐθειαζόμενον εἰς χείλη. μαλακαῖσιν· κατ' ἀντίφρασιν, ἀλλ' ἰσχυρά. ἢ μαλακῇσιν· ἐπώνυμος μάλθη· ἐπήγαγεν. ἀδρανίῃσιν· οὐ μαλακῇσιν ἐπώνυμος ἀσθενείαις.

1.372 Ἀργαλέοι· λυπηροὶ, χαλεποί. ἀπαίσιον· ἄδικον, μισητὸν καὶ κακὸν, φοβερὸν, ἀπρεπές. ἄχθος· βάρος ἀπὸ τρόπου. ὑαίνης· ὕσκας, ἀντὶ τοῦ αἱ

ὕαι· διὸ καὶ μισηταί.

1.373 Ἁρπακτῆρες· ἁρπακτικοί. ἐν δέ· καί. κύνεσσιν· μεταπλασμός.

1.374 Τριχθαδίη· τρισσή ἐστι, τριπλῆ. Ἐκ τοῦ τριχῆ γίνεται τριχᾶ καὶ κατ' ἀναδιπλασιασμὸν τοῦ τόνου τρίχα καὶ πλεονασμῷ τοῦ θ γίνεται τριχθά καὶ διχθὰ, καταβιβασθέντος τοῦ τόνου, καὶ ἐξ αὐτῶν διχθαδίη, τριχθαδίη ἡ διπλῆ καὶ τριπλῆ. Τρία γένη θαλασσίων κυνῶν, ὧν τὸ ἓν μετὰ τῶν κητῶν ἐστιν ἐναρίθμιον, καὶ τὸ ἕτερον κεντρίναι λέγονται καὶ τὸ ἄλλο γαλεοί. γενεή· γέννα, ἤως τὸ γένος.

1.375 Λευγαλέοις· ὀλεθρίοις· λευγαλέον τὸ καταπληκτικόν· ἀπὸ τοῦ ἀλεύω τὸ ἐκφεύγω γίνεται ἀλευλέον κατὰ παραγωγὴν, καὶ κατὰ μετάθεσιν λευαλέον καὶ πλεονασμῷ τοῦ γ λευγαλέον. λευγαλέοις· ἀξίοις λόγου παρὰ τὸ λέγω πλεονασμῷ τοῦ υ, ἢ θανατηφόροις ἀπὸ τοῦ λέγω τοῦ κοιμῶμαι τοῖς κατακοιμίζουσιν εἰς θάνατον ἐξ οὗ καὶ κυνηγὸς, ἢ παρὰ τὸ λοιγὸς ὁ ὄλεθρος λοιγαλέος καὶ λευγαλέος, λευγαλέος δὲ κυρίως ὁ ἐν τῇ θαλάσσῃ ὄλεθρος. ἐναρίθμιον· συναυλιζόμενον. φῦλα· γένη. ἄλλα δὲ φῦλα· τὰ δ' ἄλλα δύο γένη.

1.376 Καρτίστοισι· ἐν τοῖς, δυνατοῖς, ἰσχυροῖς, ἰσχυροτάτοις. μετ'· σὺν, ἐπί· γράφεται μετά. δινεύονται· συστρέφονται.

1.377 Κέντροισι κελαινοῖς· διὰ τὰ κέντρα τὰ μάταια. κελαινοῖς· θανατηφόροις, ματαίοις, σκοτεινοῖς.

1.378 Αὐδώωνται· ὀνομάζονται, καλοῦνται. ἐπώνυμον· φερώνυμον. ὁμαρτῆ· ὁμοῦ, ἀντὶ τοῦ καθόλου ὁμοῦ λέγει.

1.379 Κλείονται· καλοῦνται. κλύονται· κλύω τὸ ἀκούω καὶ ὀνομάζομαι, ὡς καὶ ἀκούω, γαλεοί. γαλεῶν· καινοπρεπὲς τὸ σχῆμα· ἐξ ἑνικοῦ γὰρ ἄρχεται, καὶ εἰς πληθυντικὸν καταλήγει, καὶ πᾶν τὸ ἀρχόμενον ἐξ ἑνικοῦ, καταλῆγον δ' εἰς πληθυντικὸν, καινοπρεπὲς λέγεται. ἑτερότροπα· διάφορα, ξενότροπα, διάφορα ἀντὶ τοῦ διαφερόντως καὶ ἑτέρως τρεφόμενα, διῃρημένα, διακεχωρισμένα γένη πολλά.

1.380 Ἀκανθίαι· ταῦτα πάντα γαλεοὶ καλοῦνται. ἄρα· δή.

1.381 Ἀλωπεκίαι· πανοῦργαι. ποικίλοι· κατάστικτοι. ἴκελα· ὅμοια.

1.382 Φορβή· γράφεται καὶ μορφή. σύν· ἐν. τε· δέ.

1.383 Δελφῖνες· οἱ δελφῖνες πρώην ἦσαν ἄνθρωποι καὶ ἐβουλήθησαν ἵνα θεοποιηθῶσι, καὶ μετέβαλεν αὐτοὺς ὁ Ζεὺς διὰ τοῦτο εἰς ἰχθύας. ἀκταῖσι· αἰγιαλοῖς. πολυραθάγγοισι· πολυήχοις, ἐν οἷς ῥήγνυνται τὰ κύματα, πολυήχοις, πολυρρήγοις, κατὰ πολὺ ῥεομένοις· γράφεται πολυρρογάθοισιν· ταῖς πολλὰς ῥαγάδας καὶ σταγόνας ἐχούσαις ἢ δεχομέναις, ἢ πολυήχοις ἐκ τῶν κυμάτων προσρήξεως· ἢ τὰς πολλὰς ῥαγὰς καὶ σχισμὰς πετρώδεις ἐχούσαις ἐκ τῆς προσβολῆς τῶν κυμάτων. πολυρραθάγοισιν· ὠνοματοπεποίηται ἡ λέξις· εἰ μή τις τυχὼν βιάσῃ αὐτὴν παραγαγὼν ἀπὸ τοῦ ῥάθαγος, ὅπερ τὴν σταγόνα δηλοῖ. ἄλλως· πολυρραγάθοις· πολυήχοις, πολυψόφοις, ἐκ τῆς τῶν κυμάτων προσρήξεως· ἢ ὅτι πολλὰς ῥαγὰς καὶ σχισμὰς πετρώδεις ἔχουσιν οἱ αἰγιαλοί. γάνυνται· χαίρονται, χαίρουσιν.

1.384 Ναίουσι· οἰκοῦσιν. οὔποτε νόσφι θάλασσα· οὐδεὶς τόπος θαλάσσης χωρίς· ἀντίπτωσις. νόσφι· χωρίς. Νόσφι παρὰ τὸ νο στερητικὸν μόριον καὶ τὸ ἔπω ἀκολουθῶ νόεπι ἐπίρρημα καὶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ π εἰς φ καὶ πλεονασμῷ τοῦ σ νόσφι.

1.385 Δελφίνων πέρι· χωρὶς θαλάσσης δελφῖνες οὐκ εἰσιν. πέρι· περισσότερον. σφέ· αὐτούς. Ποσειδάων· περισσῶς γὰρ ὁ Ποσειδῶν αὐτόν· ποσειδῶν ἐστι τὸ ἁλυκὸν καὶ θαλάσσιον ὕδωρ παρὰ τὸ τὴν πόσιν δεῖν, ἀμφιτρίτη δὲ τὸ γλυκὺ καὶ πότιμον ὕδωρ, τὸ ἀμφοτέρωθεν ἤως διχόθεν ἡμῖν ἐπιγινόμενον ἔκ τε τῶν πηγῶν, καὶ τῶν ὑετῶν· διὸ καὶ τὴν τοιαύτην γλυκερὰν τοῦ ὕδατος φύσιν Ἀμφιτρίτην ἐκάλεσεν ἀμφοτερότητά τινα οὖσαν, ἐπεὶ, ὡς εἴπομεν, ἀμφοτέρωθεν ἤως διχόθεν ἡμῖν ἐστιν. τοῦτο οὖν τὸ γλυκὺ ὕδωρ, ὃ καὶ ἀμφιτρίτην φασὶν, ἔφευγε τὸν ποσειδῶνα, μὴ θέλον συγγενέσθαι αὐτῷ, ἢ ἀσυνδύαστον ἦν, ἐναντιούμενον τῇ τε ποιότητι καὶ τῷ διαστήματι, οἱ δέ γε δελφῖνες, οἱ ποταμοὶ δηλαδὴ, δελφῖνες λεγόμενοι διὰ τὸ ἐν τῇ δελφύι ἢ τῇ κοιλότητι τῆς γῆς αὐτοὺς σύρεσθαι, συνεκόμισαν αὐτῷ τὴν τοιαύτην ἀμφιτρίτην· διὰ γὰρ τῶν ποταμῶν τῶν τ᾽ ἀειρρόων καὶ τῶν χειμάρρων εἰσβάλλει τὸ γλυκὺ ὕδωρ εἰς τὴν

θάλασσαν· κόρην μὲν οὖν φησι τὴν τοιαύτην διὰ τὸ καθαρὸν τῶν ὑδάτων τοιούτων, κυανώπιδα δὲ διὰ τὸ ἔστιν οὗ καὶ ὅ τι μέλαν αὐτῶν, νηρηΐδα δὲ διὰ τὸ νεύειν καὶ ῥέειν αὐτὰ, ἐν ὠκεανοῦ δὲ δόμοις λέγει αὐτὴν εἶναι, ἐπεὶ ὠκέως καὶ ταχέως ἀεὶ νάουσι. βασιλείαν δὲ λέγει αὐτὴν τῆς ἁλὸς, καὶ τοῦτο ἀληθές· βασιλικώτατον γὰρ τὸ πότιμον ὕδωρ καὶ ὑπερέχον τοῦ πικροῦ καὶ ἁλυκοῦ. ἀγαπάζει· ἀγαπᾷ, ἀττικόν.

1.386 Κούρην· παρθένον, νέαν. Οὕνεκά οἱ κούρην· διότι τὴν τοῦ Νηρέως κόρην τῷ Ποσειδῶνι ζητοῦντι καὶ φεύγουσαν ἐκείνην τὸ αὐτοῦ λέχος οἱ δελφῖνες ἔδειξαν, τὸ δὲ Νηρηΐνη· τύπος θηλυκῶν πατρωνυμικός ἐστι καὶ ὁ διὰ τοῦ ἰνη οἷον ἡρωΐνη, ἡ τοῦ ἥρωος, Ὠκεανίνη, ἡ τοῦ Ὠκεανοῦ· οὕτως οὖν καὶ τὸ Νηρηΐνη ἡ τοῦ Νηρέως, ἐστὶ δ' ὁ Νηρεὺς θαλάσσιος δαίμων. κυανώπιδα· μελανόφθαλμον, γερανόφθαλμον, μελανόμματον. νηρηΐνην· τὴν τοῦ Νηρέως θυγατέρα· τρεῖς τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν· ὁ εἰς ης, οἷον Πηλειάδης, ὁ εἰς ων, οἷον Πηλείων, ὁ εἰς άδιος αἰολικῶς, οἷον Πηληιάδιος. καὶ θηλυκοὶ τρεῖς· ὁ εἰς ις, οἷον Πριαμὶς, ὁ εἰς ας, οἷον Πριαμιὰς, Βυζαντιὰς, καὶ ὁ εἰς ίνη, οἷον Πριαμίνη, Νηρηΐνη.

1.387 Μαιομένῳ· ἐπιθυμοῦντι, διώκοντι, ζητοῦντι, ἐρευνῶντι. λέχος· ἰδίαν κοίτην· λέχος ἡ κοίτη παρὰ τὸ λεχρίους ἡμᾶς ποιεῖν ἤως πλαγίους, ἢ παρὰ τὸ λέγω τὸ κοιμῶμαι. ἑὸν λέχος· τὴν κοίτην αὐτοῦ.

1.388 Φρασσάμενοι· νοήσαντες, σκοπήσαντες, θεασάμενοι. ὠκεανοῖο· Ὠκεανὸς παρὰ τὸ ὠκέως νεύειν, ἢ παρὰ τὸ ὠκὺς καὶ τὸ ἀνύω ὁ ταχέως φέρων.

1.389 Κευθομένην· κρυπτομένην, κεκρυμμένην. Κευθομένην ἀπὸ τοῦ εἴκω τὸ ὑποχωρῶ καὶ τοῦ εὔω τὸ φωτίζω, ὅθεν τὸ φωτίζον ὑποχωρεῖ. ἤγγειλαν· ἐμήνυσαν, ἀπήγγειλαν τῷ Ποσειδῶνι. κυανοχαίτης· μελανόθριξ.

1.390 Ἐξήρπαξεν· δωρικῶς. ἀναινομένην· μὴ βουλομένην, ἀπαρνουμένην, καὶ μὴ θέλουσαν, καὶ μὴ προθυμουμένην, ἀρνουμένην. ἐδάμασσε· ἔφθειρε, διὰ σεμνότητα, ὅθεν δάμαρ, ἐξεπαρθένευσεν, ἀνεκοιτάσθη· ἀντὶ τοῦ εἶπε ἐδάμασεν, τὸ δὲ σχῆμα σεμνότητος, ὡς τό· «ἔγνω ὁ Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ».

1.391 Παράκοιτιν· ὁμόζυγον, ὁμόκοιτον, γυναῖκα· βασίλειαν· δέσποιναν· ὅρα ἀσύνδετον. Βασίλειαν ἔθηκεν ἐκ τοῦ βασιλεὺς, ὡς ἱερεὺς ἱέρεια καὶ βασιλεὺς βασίλεια, τὸ δὲ βασίλισσα τῶν ὑστερογενεστέρων ῥητόρων ἐστίν. ἔθηκεν· ἐποίησεν.

1.392 Ἀγγελίης· ἕνεκα, ἕνεκα τῆς μηνύσεως, ἕνεκα τῆς, ἢ τῆς ἀγγελίας, ἰωνικῶς· τὸ ἀγγελίας διπλῶς νοεῖται, ἢ ἕνεκα τῆς ἀγγελίας, καὶ τῆς ἀπαγγελίας· ἢ τοὺς προσηνεῖς ἀγγελέας καὶ ἀγγελῆας καὶ τρέπεται τὸ η εἰς ι ἰωνικῶς· ἀγγελεὺς γὰρ ἡ εὐθεῖα. ἤνεσσεν· καθίζειν ἐποίησεν ἀπὸ τοῦ ἀνέζω. ἤνησεν· ἐπῄνεσεν. ἐνηέας· πρᾴους, πρᾳεῖς, ἀγγέλους, προσηνεῖς. θεράποντας· δούλους.

1.393 Κλήρῳ δ’ ἐν σφετέρῳ· κατάχρησις· τὸ γὰρ σφέτερον δευτέρου ἐστὶ πρόσωπον, νῦν δὲ πρῶτον. περιώσιον· μεγάλην, πολλὴν, ἐξάκουστον, ἄπειρον, τὸ δὲ περιώσιον ἀττικὴ ἡ αὔξησις, ὡς τὸ πλωΐζω πλωτόν. περιώσιον· ὑψηλόν. ὤπασε· παρέσχεν, ἔδωκεν ἀπὸ τοῦ ὀπάζω. τιμήν· γέρας.

1.394 Ἀμειλίκτοις· ἀνημέροις, ἀγρίοις, ἀκαμπέσιν. ὅσσα· λείπει τινά.

1.395 Τραφερῆς· τῆς ξηρᾶς γῆς, τῆς χέρσου. φυσίζωον· τὸ φύον τὴν ζωὴν, τὸ φύον τὸ ζῇν, ἤως τὸ φύον, τὸ ἀναβλαστάνον, τὸ ζωογονοῦν τὴν φύσιν. Φυσίζωον τὴν δωρουμένην τὰς ζειὰς, ἢ ἐκ τοῦ ἔχειν φύσιν ζωογονοῦσαν, φύουσα πρὸς τὸ ζῇν, ἡ δὲ λέξις σύνθετος. οὖδας· ἔδαφος.

1.396 Δηρόν· ἐπὶ πολύ. ἠιόνεσσι· αἰγιαλοῖς. ἀγχιάλοισιν· τοῖς πλησίοις ἁλὸς, τοῖς πλησίον τῆς θαλάσσης. ἀρούραις· γαίαις, γέαις.

1.397 Μίσγοντ’· ἢ διατρίβουσιν. ἀσπιδόεσσα· περιφερὴς, στρογγύλη· πλατεῖα γάρ ἐστιν, ἡ δίκην ἀσπίδος ἔχουσα τὴν περιφέρειαν, καὶ ὁ ποιητής
δι’ ἀσπιδέος πεδίοιο·
ἢ τῷ τὸ πρόσωπον ἀσπίδος ἔχειν, ἢ διὰ τὸ δίκην ἀσπίδος φέρειν τὸ ἑαυτῆς καύκλον.

1.398 Δυσπενθέες· αἴτιαι πένθους, αἱ ἐπὶ κακῷ πενθοῦσαι, ἢ φωνοῦσαι· δυσοιώνιστοι γάρ εἰσιν· αἱ κακὸν πένθος ἔχουσαι, αἱ κακῶς πενθοῦσαι.

ἀλεγεινήν· φευκτὴν, ἀλγεινὴν, ἐλεεινὴν, χαλεπὴν, καὶ πένθος κακὸν καὶ ἐλεεινόν.

1.399 Ὄσσαν· φωνὴν, βοήν. Ὄσσα ἡ φήμη καὶ ἡ ὀμφὴ, ἐπὶ τῶν μάντεων παρ' Ὁμήρῳ σήμαινε. κροκάλοισιν· αἰγιαλοῖς· κροκάλη ἀπὸ τοῦ κρούω καὶ τοῦ ἁλὸς, ἡ θάλασσα, ὁ αἰγιαλὸς, ἐν ᾧ κρούονται τὰ κύματα. κροκάλαι κυρίως εἰσὶν αἱ περὶ τὸν αἰγιαλὸν σμικρόταται ψηφῖδες. κροκαλοῖσι· ταῖς ὀξείαις πέτραις ἢ αἰγιαλοῖς, καὶ παρ' Ὁμήρῳ κροταλὶς ἡ ψηφώ καὶ ἐπὶ τοῖς ψηφῖσι τῶν αἰγιαλῶν· κροκάλη ὁ αἰγιαλὸς ἀπὸ τοῦ κρέκω τὸ ἠχῶ. ἀπαίσιον· κακὴν, μισητὴν, ἀπρεπῆ, ἢ μαντικὴν, ἢ φημητικήν. ὠρύονται· βοῶσιν, ἤτοι ὑλακτοῦσιν, ἤως φωνὴν βοῶσι δηλοῦσαν σημεῖον θανάτου τῷ ἀκούσαντι· καὶ ὃς γὰρ ἀκούσῃ αὐτῶν ἀπόλλυται. βρύχω λέγεται ἐπ' ἀνθρώπου, βρυχῶ δ' ἐπὶ λέοντος, καὶ μηκῶ ἐπ' αἰγὸς διὰ τοῦ η, μυκῶ δ' ἐπὶ βοὸς διὰ τοῦ υ ψιλοῦ, ὠρύω δ' ἐπὶ λύκου μόνον.

1.400 Ὅς· ἄνθρωπος, δηλονότι. γῆρυν· φωνήν. οὔασιν· τοῖς ὠτίοις. ἀλγινόεσσαν· λυπηράν.

1.401 Στυγερῆς· μισητῆς· Στὺξ πηγὴ ψυχρὰ περὶ τὸν ᾍδην, ἥτις θραύει τῇ ψυχρότητι πάντα τὰ ἀγγεῖα πλὴν τῶν κερατίνων, ἐξ ἧς στυγηρὸν τὸ μισητὸν καὶ ψυχρὸν λέγεται. ἐνοπῆς· φωνῆς, κραυγῆς. κωκυτόν· θρῆνον. ἀκούσῃ· εἰς νοῦν βάλῃ.

1.402 Τηλοῦ· μακράν· τέλος τελοῦ καὶ τηλοῦ. τάχ'· ταχέως, κολαστικὸν, συντόμως. ἄτην· βλάβην, ἤγουν τὴν φωνήν.

1.403 Μόρον· θάνατον· μόρος ὁ θάνατος παρὰ τὸ μείρω τὸ μερίζω, ὁ πᾶσιν ἐπ' ἴσης μεριζόμενος. αἰνοτάτη· χαλεπωτάτη. μαντεύεται· προσημαίνει. αὐδή· λαλιά.

1.404 Φάλαιναν· τὴν εἰς τὸ φῶς ἁλλομένην· φάλαινα εἶδος ἰχθύος, καὶ ἡ κατὰ νυκτὸς εἰς τὸ φῶς ἁλλομένη, ἡ κοινῶς κανδηλοσβέστρια· φάλαιναν παρὰ τὸ εἰς φῶς ἅλλεσθαι. φάλαινα ἔχει ἐπιθυμίαν συνουσιάζεσθαι τοῖς ἀνδράσιν, ἐστὶ δὲ καὶ ζωΰφιον ἐν τοῖς λύχνοις ἁλλόμενον, τὸ λεγόμενον κανδηλοσβέστρα. ἀναιδέα· διὰ τὸ ἐπιθυμεῖν τοῖς ἀνδράσι συνουσιάζεσθαι.

1.405 Χέρσονδε· εἰς τὴν γῆν, καὶ εἰς τὴν χέρσον. ἠελίοιο· ὑπὸ τοῦ, ἡλίου. θέρεσθαι· θερμαίνεσθαι.

1.406 Ἐννύχιαι· δι᾽ ὅλης τῆς νυκτὸς, καὶ ἐν ταῖς νυξίν. Ἐννύχιαι τουτέστι ταῖς νυξί ποτε καὶ ἐν ἡμέραις ἐκβαίνουσι τῆς θαλάσσης, ἐν ταῖς πέτραις καὶ ταῖς ψαμάθοις ἡσύχως μένουσι καὶ ἔξω τῆς ἁλὸς τὸν ὕπνον ἔχουσι, λέγει δὲ καὶ ὁ Λυκόφρων

φάλαινα δυσμίσητος ἐξινωμένη.

λέγει δ᾽ αὐτὴν εἶναι τὸ κῆτος, ὅπερ ἔμελλε καταπιεῖν τὴν Ἀνδρομέδαν, ἀπελίθωσε δ᾽ αὐτὴν ὁ Περσεὺς διὰ τοῦ γοργονείου εἴδους. Φάλαινά ἐστι καὶ ἐν τῇ γῇ ζωΰφιον ἐν τοῖς λύχνοις ἁλλόμενον. θάλασσαν· θάλαττα ἀπὸ τοῦ θάλλειν ἅτας ἢ βλάβας.

1.407 Ἡμάτιαι· ἡμεριναὶ, δι᾽ ὅλης τῆς ἡμέρας.

1.408 Εὔκηλοι· ἥσυχοι. ἔξαλον· ἔξω τῆς ἁλός. ὕπνον ἔχουσι· ὑπνώττουσι, κοιμῶνται.

1.409 Ζεῦ· ποιητής. μάκαρ· γράφεται πάτερ. Ζεῦ μάκαρ· Ζεὺς ἢ ὅτι μόνος ἔζησεν ἀπὸ τῶν ἄλλων, ἢ ἀπὸ τοῦ δεύω τὸ βρέχω Δεὺς καὶ Ζεύς· ὑέτιος γὰρ ὁ ἀήρ. Μάκαρ ἀπὸ τοῦ μὴ ὑποπίπτειν κηρὶ καὶ θανατηφόρῳ μοίρᾳ. Ζεῦ πάτερ· νοητέον οὕτως, ὅτι ἀπὸ τοῦ εἰπεῖν Ζεῦ ἐδηλοποίησε τὸ εὖ ζῆν· πάντα γὰρ τῆς εὐζωΐας ἐπιθυμοῦμεν, καὶ ἐγράφη εἰς τὸ ἕτερον καταβατόν, ὁ δὲ νοῦς οὕτως· ὦ Ζεῦ μάκαρ, εἷς σε πάντα ἀφορῶσι καὶ ἀπό σου ἔσχον τὴν γένεσιν, εἶτ᾽ οὖν τὸν ὑπέρτατον οἶκον δηλαδὴ τὸν οὐρανὸν κατοικεῖς, εἴτε πανταχοῦ· ἀμήχανον γὰρ καὶ ἀδύνατόν ἐστι θνητῷ δηλονότι ἐξονομᾶσαι, καὶ εἰπεῖν τὸ ἐξαίσιον θαῦμα τὸ ἐν τοῖς ἐναντίοις στοιχείοις κατασκευᾶσαί τινα κοινωνίαν· ὁ γὰρ αἰγλήεις αἰθὴρ καὶ ὁ ἀὴρ καὶ τὸ λαρὸν ὕδωρ καὶ ἡ παμμήτειρα γῆ ἀπ᾽ ἀλλήλων διακεχωρισμένα εἰσὶν, ἀλλὰ σὺ, ὡς δημιουργὸς συνήρμοσας ἀλλήλοις καὶ ζυγὸν πάγκοινον ἐπέθηκας ἀλλήλων· τὸ γὰρ πῦρ καὶ τὸ ὕδωρ ἐναντία εἰσὶν, ἀλλὰ κοινωνίαν καὶ συνάρμοσιν ἔχουσιν ἀπό τε γῆς καὶ ἀέρος, καὶ ἡ μὲν γῆ συνίσταται ἀπὸ ξηροῦ καὶ ψυχροῦ, καὶ τὸ μὲν ξηρόν ἐστιν ἀπὸ πυρὸς, τὸ δὲ ψυχρὸν ἀφ᾽ ὕδατος, καὶ οὕτως μὲν ἔχουσιν. ἐσ δέ σε πάντα· εἷς σε ἀφορῶσιν. μέλλων περὶ ἀμφιβίων ζώων εἰπεῖν ὁ ποιητὴς

προοιμιάζεται φυσιολογικῶς περὶ τῶν τεσσάρων στοιχείων, καί φησιν, ὅτι καὶ ἀπ᾽ ἀλλήλων ἕκαστα διεστηκότα κοινωνίαν ἔχουσι πρὸς ἄλληλα, ὥσπερ καὶ τὰ ἐν τῇ θαλάσσῃ ζῶα πάντη διεστηκότα τῇ διατριβῇ τῶν ἐν τῇ χέρσῳ ζώων, ὅμως ἀμφοτέρωθεν βιοῦσι, καὶ ἐν τῇ θαλάσσῃ καὶ ἐν τῇ γῇ· μεσεμβόλημα· εἶς σε ἀφορῶσιν, σὲ ὑπείκουσι, τουτέστι ὑπὸ τὸν ζυγὸν τὸν σὸν καί σοι ὑποτέτακται καὶ ὁ αἰθὴρ καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ὁ ἀήρ. ἐκ σέθεν ἐρρίζωνται· ἀπό σου προσέρχονται, ἢ στηρίζονται, καὶ ἔκ σου ἐπιστηρίζονται, ἀντὶ τοῦ τὴν ῥίζαν ἔχουσιν.

1.410 Αἰθέρος οἶκον· εἰς τὸν οὐρανόν.

1.411 Ναιετάεις· κατοικεῖς. θνητῷ· ἀνθρώπῳ· μεσεμβόλημα. ἀμήχανον· ἀδύνατον. ἐξονομῆναι· φανερῶς εἰπεῖν, ἐξ ὀνόματος εἰπεῖν.

1.412 Οἵῃ· σὺν μεγάλῃ, σὺν ὁποίᾳ, μεγάλῃ καὶ θαυμάστῃ· ταῦτα τῆς διαχωρίσεως. φιλότητι· κοινωνίᾳ, συμφωνίᾳ, ἑνώσει, φιλίᾳ. διακρίνας· χωρίσας, διαχωρίσας, ἐν τῇ διακρίσει. Διέκρινας· ἤως διεχώρισας ἀπ᾽ ἀλλήλων ἑκάστου τὴν φύσιν, τῇ δὲ σχέσει ὁμοφροσύνης δεσμῷ συνέδησας. ἐσκέδασας· ἥπλωσας, ἐμέρισας, ἐχώρισας, ἔχυσας, ἐσκόρπισας.

1.413 Αἰθέρα· πῦρ. αἰγλήεντα· λαμπρόν. χυτὸν ὕδωρ· τὴν θάλασσαν, τὸ ἐπιχεόμενον. χυτόν· ῥευστόν.

1.414 Χθόνα· γῆν. παμμήτορα· τὴν μητέρα πάντων. ἀπ᾽ ἀλλήλων· χωρὶς, εἰσὶ κεχωρισμένα.

1.415 Ἐν ἀλλήλοισιν· καὶ ὁμοῦ, σὺν ἀλλήλοις· ταῦτα τῆς ἑνώσεως. ὁμοφροσύνης· φιλίας, ἀγάπης. ὑπό· ἐν.

1.416 Ἀρρήκτῳ· ἀδιαλύτῳ, ἀσχίστῳ, στερεῷ. συνέδησας· ἥνωσας. ἀναγκαίῃ· ἀνάγκῃ, δυνάμει, τῇ βίᾳ. ἐπέρεισας· ἐστήριξας, ἐστερέωσας, ἐπέθηκας, ἐπεβάρησας αὐτοῖς, ἐπεστήριξας.

1.417 Ἀστεμφῆ· ἀμετακίνητον, ἀκίνητον, στέμφω σημαίνει τὸ κινῶ, ἀφ᾽ οὗ καὶ ἀστεμφὲς τὸ ἀκίνητον. πάγκοινον· συνεκτικόν. ζυγόν· δεσμὸν, εἰς τὴν ἕνωσιν, τῆς ἐξουσίας. οὔτε γὰρ αἰθήρ· ἰστέον ὅτι ὁ ἀὴρ τῷ αἰθέρι κοινωνεῖ τῆς θερμότητος, κατὰ δὲ τὸ ὑγρὸν διαλλάσσει, καὶ τὸ ὕδωρ τῷ

ἀέρι τῆς ὑγρότητος, κατὰ δὲ τὸ ψυχρὸν οὐχ ὁμοιοῦται, ἡ δὲ γῆ τῷ ὕδατι κατὰ τὸ ψυχρὸν, κατὰ δὲ ξηρὸν οὐδαμῶς, τῇ δὲ γῇ ὁ αἰθὴρ κατὰ τὸ ξηρὸν, κατὰ δὲ τὸ θερμὸν οὐδαμῶς. αἰθήρ· ὑπάρχει.

1.418 Μέν· μήν.

1.419 Νόσφι· χωρίς. τέτυκται· κατεσκεύασται, καὶ ὑπάρχει· τέτευκταί ἐστι καὶ ἀποβάλλεται τὸ ε. ἐν ἀλλήλοις· ὁμοῦ. φύονται· συμπλέκονται, περιπλέκονται, πεφύκασιν, ὑπάρχουσιν, ἥνωνται, καὶ ἑνοῦνται.

1.420 Πάντα τὰ στοιχεῖα. ὁδὸν μίαν· τὴν ἀπ᾽ ἀρχῆς κίνησιν καὶ τὴν αὐτὴν, ὁδὸν δὲ μίαν λέγει τὴν ἀπ᾽ ἀρχῆς κίνησιν, ἣν ἔλαχεν ἕκαστον· τὴν αὐτὴν κινεῖται καὶ οὐκ ἄλλην. εἶσι· ἔλαχον ἢ πορεύονται. ἀνελίσσετ᾽· κινεῖται, συμπλέκεται, συμπλέκονται, διέρχονται. ἀμοιβήν· διαδοχὴν, ἀντικαταλλαγὴν, πορείαν, ὁδὸν, κοινωνίαν.

1.421 Ξυνῆσιν· κοιναῖς. Καὶ ξυνῆσιν ὁμηρεύουσιν· ὁμοῦ εἰσιν ἐν θαλάσσῃ καὶ ἐν γῇ, τὸ δ᾽ ὁμηρεύουσιν ἀντὶ τοῦ κοινωνοῦσιν· διὰ τοῦτο καὶ ταῖς κοιναῖς γενέσεσι τῶν ἀμφιβίων ὑπουργοῦσι καὶ δουλεύουσιν. Ἄλλως· μετέχουσι, κοινωνοῦσιν, ἐπιθυμοῦσιν, ὡς ἐκέχειρα καὶ πίστεις δίδουσι τὰς πρὸς ἀλλήλους αὐτῶν ἐπικουρίας καὶ βοηθείας· ὅμηρα γὰρ τὰ εἰς εἰρήνην διδόμενα καὶ γινόμενα ἀμφοτέρων μερῶν σύμβολα· ὁμοίως καὶ ἐφ᾽ ὁμονοίας καὶ φιλίας, ὃ καὶ αὐτὰ ποιοῦσιν· ὁμηρεύουσι γὰρ τὸ εἰρηνικῶς διακεῖσθαι πρὸς ἄλληλα. ὁμηρεύουσι· διάγουσιν, ἀντὶ τοῦ φιλικῶς κοινωνοῦσιν· ὅμηρα γὰρ τὰ εἰς εἰρήνην διδόμενα, καὶ γίνεται ἀπὸ τοῦ ἀρῶ τὸ ἁρμόζω, τὸ φιλιῶ. ὁμηρεύουσιν· εἰρηνικῶς διάκεινται, κοινωνοῦσι, λυσιτελοῦσιν, ὑπουργοῦσι, δουλεύουσι, σπεύδονται. γενέθλαις· βιοταῖς.

1.422 Ἀμφιβίων· τῶν ἀμφοτέρωθεν βιούντων ἀπὸ τῆς ξηρᾶς καὶ θαλάσσης, τῶν ἐχόντων τὴν ζωήν. τοὶ μέν· τινὲς μὲν τῶν ἰχθύων. ἀναστείχουσ᾽· ἀνέρχονται, πορεύονται.

1.423 Ἄλλοι· ὄρνεις δηλονότι. κατ᾽ ἠέρος· ἀπὸ τοῦ ἀέρος· καὶ Ὅμηρος· «κατ᾽ οὐλύμποιο.» ἀμφιτρίτῃ· τῇ θαλάσσῃ.

1.424 Μίσγονται· σμήχω η σμίγω ι, σμύχω δὲ τὸ καίω υ ψιλόν. στονόεντα· στεναγμοῦ ἄξια, ἤως πολυστένακτα.

1.425 Ἀλκυόνων· πασιδόνων. λέγουσι τὴν ἀλκυόνα πρότερον ἄνθρωπον εἶναι, ἐρασθεῖσαν δὲ βασιλέως μανεὶς ὁ Ζεὺς μετέβαλεν εἰς ὄρνεον. ἀλκυόνων· ἀπὸ τοῦ κύειν ἐν τῇ ἁλί. κρατεροί· ἰσχυροὶ, ἁλιαίετοι δ’ οἱ ἐν τῇ ἁλὶ ἁρπάζοντες, καὶ οἱ τῆς θαλάσσης ἀετοί· ἀετοὶ θαλάσσιοι· οἱ τῆς θαλάσσης ἀετοὶ, οὐχ ὅτι ἡ θάλασσα ἔχει αὐτοὺς, ἀλλ’ ὅτι ἐν τῇ θαλάσσῃ διατρίβουσι καὶ φοιτῶσιν, ἁρπάζοντες ὃ ἂν εὕρωσιν.

1.426 Ἄλλα· γένη. ἰχθυάα· ἰχθῦς ἁλιεύει, ἰχθύας ἀγρεύουσιν, ἀγρεύει ἰχθύας, ἀγρεύωσιν ἰχθύας καὶ ἐρῶσιν ἰχθύων. διερῆς· διύγρου. ἐπιβάλλεται· ἐπιθυμεῖ, ἅπτεται, φροντίζει, ἐφίεται.

1.427 Τέμνουσι· κόπτουσι, διερχόμενοι, πέτονται, πέτονται εἰς τὸν ἀέρα.

1.428 Τευθίδες· τὰ λεγόμενα καλαμάρια· τευθίδες καὶ χελιδόνες εἰσὶ θέσει ἰχθύες καὶ πέτονται ἔξω τῆς θαλάσσης, ὅταν φοβηθῶσιν ἰσχυροτέρους ἰχθῦς. βυθίη· ἡ ἐν τῷ βυθῷ οὖσα, ἐν τῷ βυθῷ διατρίβουσα.

1.429 Οἱ δ’· οἵτινες. ταρβήσωσιν· φοβηθῶσι, φοβηθήσονται. ὑπέρτερον· κρείττονα, ἰσχυρότερον, μεγαλότερον. ἐγγύθεν· πλησίον.

1.430 Ἀνθρώσκουσι· ἀναπηδῶσιν. ἠέριοι· εἰς τὸν ἀέρα, ἐναέριοι. ποτέονται· πέτονται, πέτανται, ἵπτανται· τευθίδες γὰρ πέτονται κατὰ τοῦ ἀέρος, ὑποκάτω δὲ τούτων αἱ χελιδόνες, οἱ δ’ ἱέρακες πάλιν κάτωθεν τῶν χελιδόνων πετόμενοι, … —καθάπερ αὐτῆς τῆς ἅλμης κρέμανται, καὶ εἰς τὸ ἄκρον θαλάσσης ἢ τὸ ὕδωρ ψαύειν ὅσον καὶ ὁρᾶσθαι.

1.431 Τῆλε· μακρόθεν, μακράν, καὶ μακρόθεν, καὶ ἐπιπολὺ διαρκοῦσιν. ταρσόν· ἴχνος, πτερὸν, τὸ πλατὺ τοῦ ποδὸς, τὸ πτερὸν, ὁ καλαθίσκος ἐν ᾧ τὰ τυρία ψύχονται, καὶ πόλις. καὶ τὸ πτερόν· τὸ ἴχνος, τὸ πτερὸν, ποτὲ δὲ τὴν κώπην· ταρσὸς σημαίνει δύο τὸ πλατὺ τοῦ ποδὸς, καὶ τὸ πτερὸν, καὶ γίνεται ἀπὸ τοῦ ταρσύνω τὸ ξηραίνω· ξηρὰ γάρ εἰσι καὶ τὰ δύο. ταρσὸς ὁ καλαθίσκος ἐν ᾧ τὰ τυρία ψύχονται καὶ ξηραίνονται καὶ κατασκευάζονται ἀπὸ τοῦ ταρσύνω τὸ κατασκευάζω, καὶ Ταρσὸς πόλις καὶ τὸ ἄκρον τῆς πτέρυγος. ἰεῖσαι· πέμπουσαι, διαρκοῦσαι, ἀφιεῖσαι.

1.432 Τευθίδες· τὰ καλαμάρια. κεν· ἄν. ὀΐσεαι· ὑπολάβῃς.

1.433 Εἰσοράαν· ὄπισθεν ὁρᾷν. ἀγεληδόν· ὁμοῦ, δίκην ἀγελῶν. ὅθ'· ὅπου.

1.434 Οἶμον· ὁδόν. ἔχουσιν· πέτονται.

1.435 Σχεδόν· πλησίον. ἠερέθονται· κρέμανται, πέτονται, πέτανται, ὁπότε κατὰ τὸ βλέπεσθαι ἀπεικάζονται, ὅτι μέσον προσεγγίζουσι τῷ ὕδατι· ἀπὸ τοῦ ἀείρω, ὅθεν γίνεται τὸ αἴρω· τοῦτο γοῦν τὸ ἀείρω κατὰ τροπὴν τοῦ α εἰς η καὶ ἀποβολὴν τοῦ ι γίνεται ἠέρω, ὅθεν παράγεται τὸ ἠερέθω ὡς τὸ φλέγω φλεγέθω, νέμω νεμέθω, φθίνω φθινύθω.

1.436 Ἄκρων πόρων, τουτέστι τῆς ἐπιφανείας. ἄκρον· ταύτην τὴν ἐπιφάνειαν. ἐπιψαύοντες· ἐγγίζοντες. ὅσσον· εἰς.

1.437 Ἄμφω· ὁμοῦ, διπλῶς. νηχομένοισι· πλέουσιν. ὁμοῖοι· ὅτι εἰσίν.

1.438 Αἱ δέ· αἱ πέτραι, οἰκήσεις· ἀνακεφαλαίωσις· αἱ νομαὶ δῆλον, ἢ αὗται αἱ πέτραι, ἢ αὗται αἱ οἰκήσεις. πόληες· καὶ καθὰ πόλις· ἀττικὸν, ἐπαναστροφὴ τὸ σχῆμα. Ὥστε πόληες· θέλει εἰπεῖν ἔνθεν τὰ ἤθη αὐτῶν καὶ τὰς ἀναστροφὰς, καλῶς δ' εἶπεν ὥστε πόληες· οὐ γάρ εἰσι πόλεις, ἀλλὰ πόλεσι παρεικάζει τοὺς τόπους ἔνθα εὑρίσκονται καί φησιν· αὗταί εἰσιν αἱ πέτραι πόληες ἐν τοῖς ἰχθύσι καὶ ταῦτα αὐτῶν τὰ πλήθη, καὶ καθολικῶς περὶ πάντων τῶν ἰχθύων νῦν διαλέγεται. οἱ δέ· οὓς εἶπον. ὅμιλοι· τὰ πλήθη· ὅμιλος ἀπὸ τοῦ ὁμοῦ καὶ τοῦ εἱλέω εἱλῶ τὸ συστρέφω.

1.439 Κεκριμένοι· κεχωρισμένοι, διακεχωρισμένοι κατὰ τὰς φύσεις, ἢ διακεχωρισμένοι κατὰ τὰς νομὰς, νεμόμενοι πέτραις. γεγάασιν· ὑπάρχουσι, καί εἰσι, καὶ γεγόνασιν. ἁλιπλάγκτοιο· ἀπὸ, τῆς πλανωμένης ἐν τῇ θαλάσσῃ. θαλάσσης· ἐν τῇ ἁλί· γράφεται γενέθλης.

1.440 Τῶν· ἀφ' ὧν. πλάζονται· νήχονται. ἀολλέες· ὁμοῦ, συνηθροισμένοι. αἰόλα· ποικίλα, διάφορα.

1.441 Πώεσιν· ποιμνίοις, ἢ στρατιώταις, οἵτινες διὰ τὸ πλῆθος ἀγελαῖοι καλοῦνται, ἐσκορπισμένοις ὡς τὰ πρόβατα. οἵ τ' ἀγελαῖοι· οἵτινες ἀγεληδὸν πλέοντες.

1.442 Τοί· ἄλλοι, οὗτοι. στίχας· τάξεις, κατὰ τάξιν. λόχοισιν· σπεῖρα συνίσταται ἐκ χιλίων ἀνδρῶν, φάλαγξ ἐκ φ′, στὶξ ἐκ λ′, λόχος ἐκ δέκα ἢ ιε′, πύργος ἐξ ἑκατὸν, λεγεὼν ἐκ μυρίων. λόχοισιν· ἀλλαγίοις· στὶξ ἐκ πεντακοσίων, λόχος δ’ ἐκ πεντήκοντα, τάγματα στρατιωτικά. κατὰ στίχας· κατὰ τάγματα, κατὰ τάξεις, στὶξ ἡ τάξις, στιχὸς, στίχας.

1.443 Δεκάδεσσιν· δεκαρχίαις, κατὰ δεκάδας, δεκατίαις. ἀπ’ ἄλλων· ὁ δὲ λοιπὸς στρατός.

1.444 Μουναδόν· μεμονωμένος. ὁρμηθείς· κινηθείς. περόωσι· πορεύονται, πλέουσιν. δίζυγες· κατὰ συζυγίαν, διπλοῖ.

1.445 Αὐτοῦ· ἐκεῖ. θαλάμῃσι· ἐν φωλεαῖς, ἀπερίττοις, μένουσι· ὑπάρχουσιν, εἰσίν.

1.446 Χείματι· ἐν τῷ χειμῶνι. ἀελλάων· ἀνέμων, πνοῶν. στροφάλιγγας· συστροφὰς, συστροφὰς ζώων δῆλον· παρὰ τὸ στρέφω στρόφιγξ πλεονασμῷ τοῦ γ καὶ τοῦ α καὶ λ στροφάλιγξ· γίνεται γὰρ εἰς ιξ ὀνόματα ἀπὸ τῆς εἰς ος, ὡς φοίνιξ· ἀπὸ τοῦ στροφάλιγξ στροφαλίζω, ὡς καναχὴ καναχίζω, ὀργὴ ὀργίζω, οὕτως στροφὴ στροφίζω, καὶ προσθέσει τοῦ α καὶ λ στροφαλίζω.

1.447 Σμερδαλέας· καταπληκτικὰς, ἐκπληκτικάς· σμερδαλέον κυρίως τὸ τῇ ὄψει καταπληκτικὸν, λέγεται δὲ καὶ βοὴ σμερδαλέα καὶ δοῦπος καὶ ἄλλα τοιαῦτα. μέρδω τὸ ἀφανίζω, ὅθεν καὶ ἤμερσεν ἀντὶ τοῦ ἠφάνισε, καὶ κατὰ πλεονασμὸν τοῦ σ σμέρδω καὶ ἐξ αὐτοῦ κατὰ παραγωγὴν σμερδαλέον τὸ καταπληκτικόν. δυσηχέος· ταραχώδους, κακοηχοῦς, κακοήχου. οἴδματα· κύματα.

1.448 Ἔξοχα· ἐξόχως, λίαν. δειμαίνουσι· φοβοῦνται. περιώσιον· περισσότερον, πολὺ, περισσοτέρως. ἄλλων· ζώων, ἀνθρώπων, πτηνῶν, θηρίων, φησὶν ἀπὸ τῶν πλειόνων ἄλλων ἁπάντων ζώων οἱ ἰχθύες φοβοῦνται τὸν σάλον τῆς θαλάσσης, ἐπειδὴ σύρει αὐτοὺς ἐκ τῶν ἰδίων τόπων, καὶ οὕτως τρέμοντες ἔνιοι αὐτῶν ἀντλήσαντες ταῖς πτέρυξιν ἄμμον ἐπιβάλλουσιν ἑαυτοὺς ἐπὶ τῷ μὴ κατασύρεσθαι, ἄλλοι δ’ εἰς πέτρας φεύγουσιν, ἕτεροι δ’ εἰς τὰ βάθη ἅτινα ἐλεύθερα ταραχῆς εἰσιν.

1.449 Φίλην· προσφιλῆ, οἰκείαν, τὴν προσφιλεστάτην αὐτοῖς οὖσαν ἐν τῷ ἀέρι, ἰδίαν.

1.450 Μαινομένην· ταρασσομένην. τότε· ἐν τῷ χειμῶνι, κατὰ τὸν καιρὸν τοῦ χειμῶνος. ἀμησάμενοι ὀρύξαντες, περιβαλλόμενοι, συνάξαντες, ἀποσωρεύσαντες· ἀμᾶσθαι οὐ μόνον ἐπὶ τῶν θεριζόντων, ἀλλὰ καὶ ὁ τῇ χειρὶ κόνιν ἢ τέφραν συνάγων ἤ τι τοιοῦτον ἀμᾶσθαι λέγεται, ἥως εἰς ἓν ἄγειν ἐκ μεταφορᾶς τῶν θεριστῶν· οὕτως οὖν ἐνταῦθα ψάμμον οἱ ἰχθύες ἀμᾶσθαι λέγονται ἀντὶ τοῦ ἐπισωρεύειν, ὥστε κρυβῆναι ὑπ᾽ αὐτῇ. Καὶ ἄλλως· ἀμᾶσθαι ἀντὶ τοῦ ὀρύσσειν καὶ διελεῖν καὶ διακόπτειν, ἵνα κρυβῶσιν ἐν αὐτῇ. ἀμυσσάμενοι· ὀρύξαντες ἀπὸ τοῦ ἀμύσσω τὸ κεντῶ, περιβαλόμενοι.

1.451 Ὑποπτήσσουσιν· κεῖνται. ὑποπτήσσουσιν· μετὰ φόβου ὑποπίπτουσι, δειλιῶσιν, ὑποδειλιῶσιν, ὑποκρύπτονται, ὑποστέλλονται. ἀνάλκιδες· ἀδύνατοι, ὄντες.

1.452 Εἰλόμενοι· κρυπτόμενοι, συστρεφόμενοι. δύνουσιν· ὑπεισέρχονται. βάθιστα· λίαν βαθύτατα.

1.453 Πελάγη· τὰ μεγάλα δηλονότι. μυχάτην ὑπὸ βύσσαν· ὑπὸ τὸν ἀπόκρυφον βυθὸν, θετικόν· εἶπεν ὑπ᾽ ἔσχατον βυθόν. βύσσαν· ὑπὸ βύσσαν, βάσιμον τόπον, βυθὸν λέγει.

1.454 Προκυλίνδεται· ταράσσεται, λίαν κινοῦνται ἔνθεν καὶ ἔνθεν, δονοῦνται.

1.455 Πρυμνόθεν· ἐσχάτως, ἀπὸ βάθους ἐσχάτου· πρυμνὸν γὰρ τὸ ἔσχατον· ἐσχάτως, ἢ ἐκ βάθους· πρυμνὸν τὸ τελευταῖον. πρυμνόθεν· ἀπὸ τοῦ τελευταίου. εἱλεῖται· κλονοῦται, συστρέφονται. διὰ δ᾽ ἔσσυται· ὁρμᾷ, διέρχεται. ἄελλα· πνοή· θύελλα παρὰ τὸ θύω, ὥσπερ καὶ ἄω ἄελλα.

1.456 Ῥίζαν· ῥίζα δι᾽ ἧς ῥέει τὸ ζῆν τοῖς φυτοῖς, ἢ παρὰ τὸ ἐν τῇ ἔρᾳ ἥως ἐν τῇ γῇ ἰζάνειν ἔριζα, καὶ ῥίζα ἀποβολῇ τοῦ ε. νεάτην· τελευταῖαν, τὴν ὑποκάτω. μέγα· πολύ. βένθος· βάθος. ἐρύκει· κωλύει.

1.457 Ῥιγεδανάς· φρικώδεις, φρυκτὰς, κρυεράς. ἀπηνέα· ἀγρίαν. ὁρμήν· ταραχήν.

1.458 Ἀνθεμόεσσαι· ἀνθηραὶ, ἄνθος ἔχουσαι, πεποικιλμέναι τοῖς ἄνθεσι, πεποικιλμέναι ὑπὸ τῶν ἀνθῶν, ἢ ἄνθη φέρουσαι, διηνθισμέναι.

1.459 Πορφύρεον· ἀνθηρὸν, λαμπρὸν, ἤτοι δίκην πορφύρας. γελάσωσιν· πραΰνωσι, λάμψωσιν, ἀπανθήσωσιν. Πορφύρεον γελάσωσιν· οἱονεὶ χλιαρῶς, προσηνῶς, ἀνθηρῶς αὐτοῖς ἐπιφανῶσι καὶ περιχαρεῖς δειχθῶσιν· ὁ γὰρ γέλως εἴωθε περιχαρέσι πράγμασι συνεῖναι καὶ συμπολιτεύεσθαι διὰ παντός· ὁμοίως καὶ τοῖς διακεχυμένοις ὕφ' ἡδονῆς, τοῖς δ' ὑπὸ λύπης συνεχομένοις καὶ ἀμαυρουμένοις τὸ στυγνὸν παρέπεται. ἀναπνεύσῃ· ἀνακουφισθῇ.

1.460 Χείματος· ἀπὸ τοῦ χειμῶνος. εὐδιόωσα· γαληνιῶσα. γαληναίη· ἀτάραχος, γαληνὴ, καὶ ἥσυχος. γένηται· ὑπάρξει· γράφεται πέληται. πέληται· γένηται.

1.461 Ἤπια· ἠπίως, πρᾴως, ἡσύχως, ἥσυχα, πρᾴως καὶ γαληνῶς, πρᾳέα. κυμαίνουσα· κυματουμένη.

1.462 Πανσυδίη· πανστρατὶ ὁμοῦ, παμπληθεί. φοιτῶσι· πορεύονται.

1.463 Ὡς δέ· παραβολή. πολυρραίσταο· πολυφθόρου, ἥως τοὺς πολλοὺς φθείροντος. νέφος· πλῆθος.

1.464 Ὀλβίη· πλουσία, πλουσίη. ἀθανάτοισι· θεοῖς· τὸ στερητικὸν α βραχύνεται πλὴν τοῦ ἀκάμας καὶ ἀθάνατος. φιλή· προσφιλής· εἰ μὴ γὰρ προφιλεστάτη ἦν τοῖς θεοῖς, οὐκ ἂν ἐνδυνήθη φυγεῖν τὴν φθορὰν τοῦ πολέμου. δηρόν· πολὺ, δὴ καὶ ἐπὶ πολύ τε.

1.465 Πάγχαλκος· ἔνοπλος διὰ πλῆθος τῶν ξιφῶν, ἔνοπλος διὰ τὰ πολέμια ξίφη, ὁλοσίδηρος. ἐπεπλήμμυρε· ἐκλυδώνιζεν, ἐπῆλθεν, ἐζόφωσεν, ἐπέκειτο, ἐκύκλου. θύελλα· παρὰ τὸ θύω τὸ ὁρμῶ· ὡς ἀπὸ τοῦ ἄω ἄελλα, οὕτως καὶ ἀπὸ τοῦ θύω θύελλα.

1.466 Ὀψέ· μόλις. ἀπολήξασα· παύσασα, καὶ ἐλευθερωθεῖσα, καὶ ἐκφυγοῦσα. ἀμπνεύσασα· καὶ ἡσυχάσασα. μόθοιο· τοῦ πολέμου, ἀπὸ ταλαιπωρίας· μόθος παρὰ τὸ ὁμοῦ θέειν τοὺς μαχομένους, καὶ εἰς ταὐτὸ τρέχειν.

1.467 Ἀσπασίως· ἀσμένως, χαριέντως. γάνυται· χαίρει. εἰρήνης· ἕνεκα τῆς, τινός. καμάτοισι· ἔργοις.

1.468 Ἁρπαλέοισι· ἐπιθυμητοῖς, ἐπιθυμητικοῖς, τοῖς ποθουμένοις ἁρπασθῆναι, ἁρπακτικοῖς, ἀγαπητοῖς, ἐπιθυμητοῖς, ἢ ὅτε ἁρπάζει τις τὸν τῆς εἰρήνης καιρόν. Ἄλλως· τοῖς καμάτοις τῆς εἰρήνης, ἤως τοῖς καρποῖς τοῖς τῇ ἅρπῃ συναγομένοις, ἢ τοῖς ἐπιθυμητοῖς καὶ ἀγαπητοῖς τε. εὔδιος· ἥσυχος. εἰλαπινάζει· εὐωχεῖται, καὶ συμποσιάζει· εἰλαπινάζει ἐστὶ τὸ ὁμοῦ σὺν ἀλλήλοις εἱλούμενον πίνειν, κυρίως εἰλαπινάζει ἤως ἐν ἀθροίσμασιν εὐωχεῖται, γίνεται δ' ἀπὸ τοῦ εἴλῶ τὸ συστρέφω καὶ τοῦ πελάζω.

1.469 Χοροτυπίῃς· χοροστασίαις, χορεύσεσι ταῖς τυπτούσαις τὸ ἔδαφος, χειροῖς. χορυτυπίης χοροῦ.

1.470 Οἱ· οὗτοι, ἰχθύες, καὶ οἵτινες. λευγαλέους· ὀλεθρίους, πικρούς. φρίκα· φόβον, ταραχήν· φρίκα κυρίως τὴν συνεχῆ κίνησιν τῶν ὑδάτων λέγει· τὴν ἐπιπόλαιον κίνησιν λέγει.

1.471 Ἀσπασίως· χαριέντως. προφυγόντες· ἐκφυγόντες. καγχαλόωντες· γελῶντες, χαίροντες.

1.472 Θρώσκουσ'· πηδῶσιν. θρώσκοντες· πηδῶντες. θύνουσιν· ὁρμῶσιν· γράφεται θρώσκουσ' ἀΐσσουσιν. ἀΐσσουσι· ὁρμῶσιν. χοροιτυπίῃσιν· χοροῖς, τοῖς τύπτουσι τὸ ἔδαφος, τοῖς χοροῖς, χορείαις. ὁμοῖοι· ὁμοίως ..

1.473 Οἶστρος· ἵμερος, ἔρως, μανία, κίνησις. ἀναγκαίης· ἢ τῆς φυσικῆς. ἀναγκαίης· βιαστικῆς, τῆς κατ' ἀνάγκην γινομένης τοῖς ἀνθρώποις, ἢ τῆς ἀγανακτικῆς καὶ ἀναγκαστικῆς· ἐν τῷ ἔαρι γὰρ ἀκμάζουσιν αὐτοῖς οἱ σώματα καὶ αἱ μίξεις. ἀφροδίτης· συνουσίας.

1.474 Ἠβώωσι· ἀκμάζουσιν, αὐξάνουσιν, ἀκμάζουσιν αὐτῶν οἱ γάμοι καὶ αἱ μίξεις, λέγω δὲ τῶν ἀμφιβίων καὶ τῶν πτερωτῶν, καθολικῶς δὲ πάντων, εἴτε τοὺς ἀμφιβίους ἰχθύας τοὺς ἐν τῇ θαλάσσῃ καὶ ἐν τῇ ἠπείρῳ διαζῶντας καὶ ταῖς πέτραις ταῖς ἐν αἰγιαλοῖς οὔσαις διῃτημένους εἴποις, εἴτε κοινῶς πάντα τὰ ἐν τῇ γῇ καὶ χέρσῳ ζῶα καὶ θηρία. Ἰστέον δ' ὅτι περιέλαβε τὰ τρία μέρη εἰπὼν, τὴν γῆν, τὴν ἀέρα καὶ τὴν θάλασσαν, εἰπών· ὅσα τε γαῖαν φερέσβιον, οἵ τ' ἀνὰ κόλπους ἀέρος, οἵ τ' ἀνὰ πόντον

ἐριβρύχην δονέονται, δονέονται δ᾽ ἀντὶ τοῦ περιστρέφονται καὶ οἰκοῦσι, ταράσσονται. ἀλλήλων φιλότητες· αἱ φιλίαι πάντων τῶν ζώων. φιλότητες· φιλίαι.

1.475 Πᾶσιν· ἰχθύσι, ζώοις δηλονότι, ἐν, καὶ πάντων. ὅσσοι· ἰχθύες. φερέσβιον· τὴν φέρουσαν πᾶσι βίον ἢ ζωήν. ἀνὰ κόλπους· ἀνὰ τὰ κήτη καὶ μέρη.

1.476 Ἐριβρύχην· μεγαλόηχον, μεγάλως βρυχόμενον, τὸν μεγάλως ἠχοῦντα. δινέονται· συστρέφονται, ἀναστρέφονται.

1.477 Πλεῖστον· περισσότερον, περισσοτέρως. εἰλείθυιαι· αἱ γένναι, ἔφοροι τῶν τικτουσῶν θεαὶ, αἳ ἦσαν τοῦ Διὸς καὶ τῆς Ἥρας θυγατέρες. εἰλείθυιαι αἱ ἔφοροι τῶν τικτουσῶν, παύουσαι τῶν ὠδίνων τὰς γυναῖκας διὰ τῆς γεννήσεως κατὰ τὸ μυθικὸν, κατὰ δ᾽ ἀλληγορίαν ἡ ἐπέλευσις τοῦ τοκετοῦ. εἰλείθυιαι· αἱ θεαὶ, αἱ γεννήσεις, αἱ ἔφοροι τῆς γένους θεαὶ κατὰ τὸ μυθικὸν, καὶ ἀλληγορικὸν ἡ ἐπέλευσις τοῦ τοκετοῦ, ἢ οἱ ἐν τῷ τίκτειν πόνοι. Εἰλείθυιαι· αἱ γένναι ἄλλως δὲ κατὰ μῦθον δαίμονές εἰσιν Εἰλείθυιαι τελοῦσαι εἰς τοκετὸν καὶ ποιοῦσαι τὸ κυοφορούμενον ἐλεύθειν εἰς φῶς, ὅθεν καὶ Εἰλείθυιαι παρὰ τὸ ἐλεύθειν λέγονται, ὡς ἐν τῷ Ὁμήρῳ γέγραπται.

1.478 Ὠοφόρων· καὶ τῶν ὠῶν. παύουσι· λήγουσιν, αὐτούς. βαρυνομένων· στενοχωρουμένων, τινὸς πράγματος γενομένου, βαρυνουσῶν, στενοχωρουσῶν, ἀπὸ τῶν γεννῶν.

1.479 Οἱ μέν· οἱ ἄρρενες. γενεῆς· παιδοποιίας, τεκνογονίας, ἀποσπερματισμοῦ, ἀποσπερματίσεως, γόνου, συνουσίας, σπορᾶς· οἱ μὲν τὸ γενεῆς παιδοποιίας λέγουσιν. κεχρημένοι· χρῄζοντες. τόκοιο· γεννήσεως, σπέρματος.

1.480 Ἀποθλίβουσιν· προστρίβουσι, πιέζουσι, συντρίβουσιν. ἀραιάς· λεπτὰς, καὶ συχνάς.

1.481 Οὐ γὰρ ῥεῖα· οὐκ εὐχερῶς δὲ γεννῶσιν· οὐ γὰρ διίστανται ἀπ᾽ ἀλλήλων τὰ ὠὰ, ἀλλὰ συνδέδεται βοτρυδὸν ἡμοσμένα ἀλλήλοις. διίσταται· χωρίζεται, διαχωρίζεται τὰ ὠὰ, διαχωρίζονται. ἐνέχονται· συνδεσμοῦνται, κρατοῦνται, συνέχονται.

1.482 Μετ᾽· σὺν, ἐν. ἀρηρότα· ἁρμόδια, ἡρμοσμένα.

1.483 Φύρδην· ὁμοῦ, συγκεχυμένως. συμπεφυῶτα· συγκεχυμένα, συγκεκρατημένα, συνηνωμένα, συμπεπλεγμένα, καὶ συνηρμοσμένα. ἀθρόα· ὁμοῦ πάντα, ὁμοῦ ὄντα, τάδε τὰ ἡνωμένα. κε· ἂν, ἐάν. τέκοιεν· γεννήσωσιν.

1.484 Στεινόμεναι· στενοχωρούμεναι, αἱ γαστέρες· γράφεται καὶ τειρόμεναι. κρίνουσι· διαχωρίζουσιν, ἀπορρίπτουσι, διιστᾶσι τὰ ὠά.

1.485 Ὡς· οὕτως· θαυμαστικά. ῥηιδίην· εὔκολον, ὅτι ἀληθῶς οὐκ εὔκολον, ὡς οὐκ εὔκολον τὴν γένναν ὥπασαν οἱ θεοὶ, οὐδὲ κἀν τοῖς ἰχθύσιν. ὥπασαν· παρέσχον, καὶ ἐδωρήσαντο. ἐπιχθονίῃσι· καὶ τοῖς ἐν τῇ γῇ.

1.487 Ἄλγεα· λύπας ἐν τῷ γεννᾷν, θλίψεις ἐν τῷ γεννᾷν δῆλον. πάντη· ἐν πᾶσι, πανταχῆ. ἐπαχθέες· βαρεῖαι, ὀδυνηραὶ, ἐπιβαρεῖς. εἰλείθυιαι· αἱ γένναι, αἱ ἔφοροι τῶν τόκων· οὕτως οὐ μόνον γυναιξὶν, ἀλλὰ καὶ ἀλόγοις καὶ ἰχθύσι καὶ πᾶσι ζώοις ὀδυνηρόν ἐστι καὶ βίαιον τὸ τίκτειν, καὶ οὐκ ἄνευ ἄλγους καὶ λύπης.

1.488 Ἄρσενες· ἰχθύες, ἀμφίβιοι δῆλον. ἐπ᾽ ἰχθύσι· κατὰ τῶν ἰχθύων. κῆρας· θάνατον, καὶ θανατηφόρους μοίρας.

1.489 Δαιτυμόνες· τρυφηταὶ ὄντες, εὐωχηταὶ, τρυφηταὶ πρὸς τὸ ἐσθίειν, ἀριστηταὶ, νάτες, ὡς δαῖτα ζητοῦντες εὐωχήσεσθαι. ῥηγμῖσιν· αἰγιαλοῖς.

1.490 Μετόπισθε· μετ᾽ ἐκείνους, εἰς τοὐπίσω, ἀπὸ τῶν ὀπισθίων μερῶν. Ἄλλοι δ᾽ αὖ μετόπισθεν· οὕτως ἁπλῶς ἀντὶ τοῦ προερχόμενοι, καὶ ζητούμενοι καὶ οἱονεὶ προπομπεύοντες τὰς θηλείας. Ἰστέον, ὅτι αἱ θήλειαι διώκουσι τοὺς ἄρρενας, τουτέστι τῶν ἀρρένων ὑπὸ τοῦ τῆς γονῆς ἔρωτος ἑλομένων, αὗται ὄπισθεν ἀκολουθοῦσι, καὶ δι᾽ αἰτίαν τοιαύτην οἱ ἄρσενες ἐν τῷ τρέχειν πρὸς ἑαυτοὺς παρατρίβουσι τὰς γαστέρας, καὶ οὕτως ἀποσπερματίζουσιν, αἱ δὲ θήλειαι ὄπισθεν αὐτῶν ἐπιδιώκουσαι κεκριμέναι θορὸν καὶ ἀποσπερματισμὸν, τουτέστι τὸν σπόρον ἤτοι τὰ σπέρματα λάπτουσι, καὶ οὕτως συλλαμβάνουσιν. διωκόμενοι· διώκοντες, ὑπὸ θηλειῶν. προθέουσι· προτρέχουσιν. διωκόμενοι προθέουσι· προτρέχουσι τῶν θηλύων διωκόμενοι παρ᾽ αὐτῶν.

1.491 Φιλότητος ἔρωτι· τῇ τῆς φιλίας ἀγαπῇ.

1.492 Ἑλκόμεναι· καὶ συρόμεναι αἱ θήλειαι. σπεύδουσι· μεταδιώκουσιν. μετ' ἄρσενας· εἰς τοὺς ἄρσενας, εἰς ἢ ἐπὶ τοὺς ἄρσενας αὐτῶν δῆλον· ὑστεροχρονίαν δηλοῖ ἡ μετά.

1.493 Ἔνθ'· τότε. οἱ· οἱ ἄρσενες, τῇ ἀκολάστῳ ἐπιθυμίᾳ προθυμούμενοι. ἐπί· περὶ, ἐν.

1.494 Τριβόμενοι· τρίβοντες, ἀναισχύντως καὶ ὁρμητικῶς φασι τοὺς ἰχθύας ἐπιτριβομένους ἀλλήλοις θορὸν σπέρματος ἀποβάλλειν. θορόν· σπέρμα, γονὸν, σπόρον, καὶ ὑγρόν. ἀπορραίνουσιν· ἀποχέουσιν, ἀπορρίπτουσι, διαχέουσι, τὸ ἀρσένωμα.

1.495 Αἱ δ'· αἱ θήλειαι, αὗται. οἴστρῳ· μανίᾳ ἔρωτος. μεμαυῖαι· προθυμούμεναι, ὁρμῶσαι, μαινόμεναι. ἐπαΐγδην· ὁρμητικῶς· ἀΐσσειν γὰρ τὸ ὁρμᾷν.

1.496 Λάπτουσι· ἀναρροφῶσι· τὸ λάπτω ποιὰ φωνή ἐστιν ἐπὶ τῶν κυνῶν, ὅταν ἀναρροφῶσί τι· λάπτ λαπλαπτ. γάμῳ· ἐπιλογικὸν, ἀπὸ λόγον λόγος. πλήθουσι· πληροῦνται. γόνοιο· τόκου, σπέρματος.

1.497 Νόμος· ἐθισμὸς, διαγωγή, ἡ πλείστη συνήθεια. εὐνάς· συνουσίας, κοίτας.

1.498 Θαλάμους· οἰκήσεις, τόπους, ἐν οἷς συνέρχονται. ἀλόχους· γυναῖκας, συζύγους. διακριδόν· κεχωρισμένως, διακεχωρισμένως. ἀμφίς· ἀμφοτέρωθεν.

1.499 Ζευξάμενοι· σχόντες ἑαυτοῖς, συμμιγέντες, συζευχθέντες, συνελθόντες εἰς συνουσίαν, ἑνωθέντες, συνδυασθέντες. ἀφροδίτη· συνουσία, μίξις.

1.500 Οἶστρος· μανία, ζῆλος, φθόνος, ζηλοτυπία ὑπάρχει ἐν ἰχθύσι χάριν τῶν θηλειῶν· ζῆλος παρὰ τὸ λίαν ζέειν ζέλος καὶ ζῆλος· ὁ φλεγμαίνειν καὶ ἐκκαίεσθαι ποιῶν τὴν ψυχήν, ἢ ὁ λῶν ἤτοι θέλων τὸ ζῆν, ὡς Ἡσίοδος·
ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδοντα.
βαρύς· καταπληκτικὸς, εἰς ἐκεῖνα δῆλον. θεός· ἔρως. ὅσσα τε· καὶ ἄλλα. τίκτει· γεννᾷ. ὅσσα τε τίκτει· ὅσα τίκτει ὁ θερμὸς ἔρως ἐκ ζηλοτυπίας, οἷον μάχας καὶ τὰ παραπλήσια.

1.501 Θερμός· καυστικός. ὅ τε· ὅστις, ὁ ζῆλος. λάβρον· σφοδρὸν, πολύν. λαῦρον· λάβρος ὁ λαίμαργος διὰ β, λαῦρος δ’ ὁ λίαν ἁβρὸς καὶ σφοδρὸς, ἢ λίαν ἁβρὸς καὶ πλούσιος. λαβρόν· τὴν διακαῆ καὶ πυρώδη, πολύν. ὅτε λαῦρον· ὁπόταν σκοτοῦνται τὸν λογισμὸν δίκην μέθης, λαβρὸν δὲ πάνυ σφροδρόν. κῶμον· πόλεμον, ἐρωτικὴν μέθην, ζάλην, μανίαν, μέθην, ἀσέλγειαν· κῶμος λέγεται ἡ ἐκ τοῦ ἔρωτος ἀναπτομένη δίκην φλογὸς ἀναθυμίασις, ἥτις θολοῖ τὸν νοῦν, καθὰ οἶστρος μεταλαμβανόμενος, ἥτις θολοῖ τὸν λογισμὸν, καθὰ ὁ οἶνος πλεῖστος μεταλαμβανόμενος σκοτοῖ τὸν λογισμόν. Μῶμός ἐστι κυρίως ᾠδὴ λεγομένη παρά τινος κατὰ νύκτα ἀπερχομένου πρὸς τὴν ἐρώτιλλαν. ὀρίνει· γράφεται ἐγείρει. ἐγείρει· διεγείρει· γράφεται ὀρίνει.

1.502 Πολλοὶ δ’· ἄρσενες δηλονότι, ἰχθύες. διασταδόν· διακεχωρισμένως, ἐνστατικῶς, διακεχωρισμένοι. εὐνῆς· κοίτης, τῆς θηλείας τῆς μιᾶς. εἵνεκεν εὐνῆς· χάριν συνουσίας.

1.503 Μάρνανται· μάχονται· μάρη ἡ χείρ· κυρίως τὸ μάρνανται ἐπὶ τῆς χειρός· κυρίως μάρνη ἡ διὰ τῶν χειρῶν μάχη. Μάρνανται· κυρίως ἡ διὰ τῶν χειρῶν γινομένη μάχη· μάρη γὰρ ἡ χείρ. μνηστῆρσιν· νυμφίοις, γαμβροῖς. νύμφην· μίαν γυναῖκα. περὶ νύμφην· χάριν γυναικός.

1.504 Ὁμοῖοι· ἴσοι, ὁμότιμοι, πλούσιοι, καὶ πλούσιοι ὅλοι, ἢ παραπλήσιοι. ἀντιφέρονται· ἐναντίως ἀντιμάχονται, ἐναντίως φέρονται, ἀντιμάχονται, μάχονται ἐξ ἐναντίας.

1.505 Ὄλβῳ· πλούτῳ. ἀγλαΐῃ· ὡραιότητι. τάδ’· ὁ πλοῦτος, ὁ ὄλβος καὶ ἡ εὐμορφότης, ἅτινα, ἤως ὁ πλοῦτος καὶ ἡ ἀγλαΐα.

1.506 Ἀλκή· δύναμις, ἀλλά τι ὑπάρχει. γένυες· σιαγόνες, στόματα. κάρχαρον· κάρχαρος ἐπὶ κυνὸς, χαυλιόδους ἐπὶ συὸς, συνόδους ἐπὶ ἀνθρώπου. κάρχαρον κεχαραγμένον ἐκ τῶν ὀδόντων, ὀξυόδοντα, διακεχαραγμένον. κάρχαρον ἕρκος· τοὺς ὀδόντας λέγει, τραχύτατον, κεχαραγμένον, τὸ ἔσωθεν τοῦ στόματος καὶ ἐπικαμπὲς περίφραγμα. ἕρκος· ὀδόντων.

1.507 Τοῖς· ἐν τούτοις τοῖς τρισὶν, ἤως τῇ δυνάμει, τῷ στόματι, καὶ τοῖς ὀδοῦσιν. ἀεθλεύουσι· ἀγωνίζονται, ἀθλοφοροῦσι· γράφεται δ’ ἀεθλεύοσιν.

ὁπλίζονται· διεγείρονται.

1.508 Τοῖσιν· καὶ πάλιν ἐν τούτοις τοῖς τρισίν, ἰχθύσιν. προβάληται· νικήσῃ, ἑαυτόν. ὁμοῦ· ἅμα, εὐθύς. εὕρατο· ἔλαβεν. εὔρατο· γράφεται ἤρατο· καὶ ἀπήρατο.

1.509 Τοὶ μέν· ἢ καὶ ἄλλοι μέν· δωρικῶς. πλεόνεσσιν· πλειοτέραις. ὁμευναίαις· ὁμοκοίταις, ὁμοκοίτοις, ὁμοζύγοις. ἀλόχοισι· γυναιξὶ καὶ θηλύαις.

1.510 Αἴθων· διάπυρος, καυστικὸς, ὁ ὀξὺς καὶ ταχὺς ἐκ τοῦ αἴθω τὸ καίω.

1.511 Τοὶ δέ· οὗτοι, ἄλλοι. ἀμφιέπουσιν· φυλάττουσιν, ὑποτάσσουσι, περιέπουσιν. ἄκοιτιν· ὁμόκοιτιν, σύζυγον θηλεῖαν, γυναῖκα· ἀκοίτης ὁ ἀνὴρ, ἄκοιτις ἡ γυνή.

1.512 Πλεόνεσσι· γυναιξὶ δηλονότι, ἀλλ᾽ ἐν μιᾷ. γάνυνται· χαίρουσιν.

1.514 Τέλος· ἡ πρᾶξις, ἤως ἡ εὐφροσύνη τῆς συνουσίας. κελαινῇ· δεινῇ, τῇ δειλῇ καὶ μεμελανωμένῃ, καταστίκτῳ, τῇ ποικιλομόρφῳ, ἢ τῇ μεγάλῃ· αὕτη μίσγει μετὰ τῶν ὄφεων.

1.515 Μυραίνῃ· τῇ μυραίνῃ τῇ δεινῇ, ἢ τῇ μελαίνῃ, ὅτι αὕτη μίσγεται μετ᾽ ὄφεως· λευκὸν ἀπὸ τοῦ λεύσσω τὸ βλέπω, μέλαν δ᾽ ἀπὸ τοῦ μὴ λάειν ἤως βλέπειν. λεχέων· κοιτῶν. παράτροπον· παρηλλαγμένην, παρατετραμμένην, παραβεβλημένην, διῃρημένην. αἶσαν· μοῖραν, τάξιν.

1.516 Αἱ μέν· αἱ μύραιναι, ἐγχέλυες. σπειρηδόν· κυκλωτερῶς, συμπεπλεγμέναι ὁμοῦ, καὶ συστρεπτικῶς, συμπεπλεγμένως ὁμοῦ δίκην ἁλύσεως, ἢ δίκην φραγκικῆς σπείρας. Σπειρηδόν· ὁμοῦ καὶ ἀθρόως πεμπόμεναι, καθάπερ ἐν ὁμονοίᾳ καὶ παρατάξει· ἢ σπειρηδόν· ἤτοι δίκην ἁλύσεως· σπεῖρα γὰρ λέγεται ἡ ἄλυσις καὶ ἡ συστροφὴ τοῦ ὄφεως καὶ οἱ τῆς ἁλύσεως στρεπτοὶ κρίκοι. ἄλλως· σπεῖρα σημαίνει δ′, τὴν νουκερίαν, τὰ παλαιὰ ἱμάτια, τὴν συστροφὴν τοῦ ὄφεως, καὶ τὸ πεπλεγμένον σχοινίον. χυθεῖσαι· ἐξαπλωθεῖσαι, πλακεῖσαι, καὶ μιγνυθεῖσαι.

1.517 Ὑγρόν· ὀλισθηρὸν, γλίσχρον. ἁβρὸς ὁ λίαν βαρύς. ἀναστρωφῶσι· περικυκλοῦσιν, ἀνακινοῦσι, καὶ ἀναστρέφουσι, καὶ κινῶσιν. θαμειαί· συχναὶ, συνεχῶς, συνεχεῖς.

1.518 Πλεγνύμεναι· μιγνύμεναι, ἐντετυλιγμέναι, πλεκόμεναι. τάων· τούτων, ἀπὸ τούτων. Σημείωσαι ὅτι τὰ ἐγχέλη περιπλεκόμενα διαρρέεται ἐξ αὐτῶν λίπος καὶ τὸ καταρρεῦσαν εἰς τὴν γῆν γίνεται ἐγχέλυες. κατείβεται· καταρρέει, ἀποστάζει, στάζεται, καταστάζεται, ἀπορρέει, καταστάζει.

1.519 Ἰχώρ· σῆψις, ὕδωρ πολὺ, καὶ ἕλκος, ὕδωρ παχὺ ὡς ἕλκος, πληγώδης ὑγρασία. Ἰχὼρ ἀπὸ τοῦ ἴσχεσθαι ἐντὸς τοῦ σαρκίου ἰσχὼρ καὶ ἰχώρ. ἰχὼρ ῥεῦσις, κυρίως δ' ἰχῶρες τὰ ἐντὸς τῶν τρωμάτων ἕλκη, ἀπὸ τοῦ ἴσχεσθαι ἔτι ἐντὸς, καὶ μὴ ἐκχυθῆναι ἀκμὴν ἔξω δυνάμενα. καλύπτεται· κρύπτεται. δέ· τε. μιν· αὐτὴν, τὴν ἰχῶρα, αὐτόν. ἰλύς· ὁ βόρβορος, ἡ συρφετώδης ψάμμος.

1.520 Κύει· συλλαμβάνει, ἐγκυμονεῖ, γεννᾷ. ὁλκούς· σώματα, περιφραστικῶς τὰ συρόμενα σώματα, ἢ σώματα μακρά.

1.521 Ὀλισθηροῖσι· γλίσχροις.

1.522 Μέγα· μεγάλα. τρομέουσι· δειλιῶσιν. ἐχθαίρουσι· μισοῦσιν, διὰ τὴν βίαν ἣν ἔχουσιν· σημείωσαι.

1.523 Ἐφίμερος· ἐπιθυμητικὸς, ἐπιθυμητός, ἐπέραστος. ἄλλοις· ἰχθύσι, ζώοις.

1.524 Τερπωλή· χαρὰ, τέρψις, εὐφροσύνη. πολύ· κατά. λεχέων· κοιτῶν, τῶν μίξεων, εὐνῶν. πλέον· περισσότερον, τῶν ἄλλων δηλονότι, τῶν ἡδονῶν, τῆς ἡδονῆς, παρὸ χαρὰν, πλείους λύπας ἔχουσι τῶν ἡδονῶν, πολὺ δὲ πλέον ἄλγος ἔχουσι τῆς τερπωλῆς. ἄλγε'· λύπας.

1.525 Σκληρόν· ὀξύ· σκληρὸν γάρ ἐστι τὸ κέντρον, τὸ πρὸς τὴν ἀφροδίτην αἰδοῖον, οἱονεὶ ὀστοῦν οὐχ ὑπεῖκον, οὐδὲ καμπτόμενον, ἀλλ' ὀρθὸν τεταμένον ἑστὸς, ὅπερ ἐν τῇ ἀπρεπῇ κοίτῃ ἐν τῇ τρίψει ἀκονᾶται, καὶ κοιλοῖ τὴν θήλειαν· διὸ καὶ οὐ θέλει συνουσιάσαι, ἀλλὰ μάχεται. εἰς ἀφροδίτην· εἰς τὴν συνουσίαν.

1.526 Ὀστέον· αὐτὸ τὸ μόριον λέγει. οὐκ ἐπιεικτόν· οὐχὶ καμπτόμενον, σκληρόν· γράφεται καὶ ὀστέον ἀυτοχάρακτον, τουτέστιν οὐχὶ καμπτόμενον. ἐπιεικτόν· χαῦνον, καὶ ὑποκλινόμενον, ἀλλὰ σκληρὸν καὶ

ξηρόν. ὑποεικτόν· ὑποτασσόμενον, ὑποκλινόμενον, ἤτοι μαλακόν. ἀτερπέι· ἀνευφροσύνης, καὶ ἀνευφράντῳ. θήγεται· ἐγείρεται, ἀκονᾶται, ἑτοιμάζεται. εὐνῇ· κοίτῃ· οὐ γὰρ ταύταις ἐπέραστός ἐστιν ἡ τέρψις τοῦ γάμου, οἷα καὶ τοῖς ἄλλοις ἰχθύσι· σκληρὸν γὰρ τὸ κέντρον ἐστὶ, τὸ πρὸς ἀφροδίτην αἰδοῖον.

1.527 Τοὔνεκα· τούτου χάριν, τοίνυν· διὰ τοῦτο αἱ θήλειαι χελῶναι φεύγουσι τὰ τῶν ἀνδρῶν ὀλι.... ὁμιλίαν, διότι τὸ μόριον τῶν ἀρρένων ἤτοι ὁ καυλὸς σκληρὸν ὀστοῦν ἐστι, μᾶλλον δὲ καὶ μάχονται πρὸς τοὺς ἐπόχους αὐρι..... ἀνέρας καὶ ὅσον τὸ κατὰ δύναμιν ἐστιν αὐτὸ σπεύδουσιν ἀπωθεῖν ἀπὸ τῆς συνουσίας αὐτῶν, ἄχρις ἂν ἀπὸ τῆς πολλῆς ἀνάγκης ἡττηθῶσι καὶ οὕτως. πολυγνάμπτοισιν· τοῖς πολλὰ ξέουσιν, λίαν ἐπικαμπέσιν, εἰς τοὐπίσω στρεφομένοις, καὶ καμπτομένοις.

1.528 Δάπτουσιν· δάκνουσιν· δάπτειν κυρίως τὸ λάβρως ἐσθίειν ἀπὸ τοῦ δα ἐπιτατικοῦ μορίου καὶ τοῦ ἅπτω, καὶ ἐσθίουσι, βλάπτουσιν, κατακόπτουσιν· οἱ ἄρσενες δηλαδὴ καὶ αἱ θήλειαι ἀλλήλους δάκνουσιν. ὅτε· ἀττικόν· τὸ ὅτε ἀντὶ τοῦ ὅταν λαμβάνουσιν. σχεδόν· πλησίον. ἀντήσωσι· συναντηθῶσι, πλησιάσωσιν, ἑκουσίως ὑποκλίνουσιν ἑαυτὰς δῆλον.

1.529 Ἀλευόμεναι· ἐκφεύγουσαι. τρηχύν· λυπηρὸν, ἀγανακτικὸν, ἐπίπονον, θανάσιμον. ἀέκουσαν· μὴ βουλομένην, μὴ θέλουσαν, οὐδὲ θέλουσαν τὴν θήλειαν τὴν εὐνὴν αὐτοὶ ἑκούσιοι ἱμείρονται, αὐτῆς δηλονότι. ἰστέον δ’ ὅτι ἀέκοντος καὶ ἀεκούσης οὐ γίνεται γάμος, ἀκούσης καὶ ἑκόντος ἔστιν ὅτε, ἑκόντος δὲ καὶ ἑκούσης ἀεί· οἱ δὲ καὶ μὴ θέλουσαν τὴν θήλειαν τὴν εὐνὴν αὐτοὶ ἑκούσιοι ἱμείρονται, τὴν εὐνὴν δηλονότι· ἤως τὸ μὴ βουλομένην ἄκουσαν ἐκείναις, ἢ ἑκουσίαν ἐκείνων καὶ ἀκουσίαν, ἑκουσίαν δ’ ὅτι ἐπιθυμοῦσιν, ἀκουσίαν, ὅτι ἐπιθυμοῦντες οὐκ ἐθέλουσι διὰ τὸν πολὺν πόνον καὶ κόπον· ἰστέον ὅτι ἀέκουσαν καὶ ἀέκοντα οὐ γίνεται γάμος, ἀέκουσαν καὶ ἑκόντι οὐ, ἑκοῦσαν καὶ ἀέκοντι οὐ, ἑκοῦσαν δὲ καὶ ἑκόντι γίνεται.

1.530 Εὐνήν· τὴν θήλειαν. ἱμείροντες· ἀποδεχόμενοι, ἐπιθυμοῦντες, ἀποδέχονται, ἐπιθυμοῦσιν. ἑκούσιοι· αὐτοθελεῖς, αὐτοί. εἰσόκεν· ἄχρις οὗ·

καινοσύντακτον. ἀλκῇ· δυνάμει, τῇ βίᾳ, τῇ ἰσχύι.

1.531 Ζεύξῃ· ὑποτάξῃ, πρὸς συνουσίαν δηλονότι, ταπεινώσῃ, συναγάγῃ, πρὸς συνουσίαν ἀγάγῃ, δεσμήσῃ αὐτὴν τὴν θήλειαν. μιν· ἑαυτῷ. ἀναγκαίῃ· βιαστικῇ, ἀναγκαστικῇ. φιλότητι· ἢ ἔρωτι, φυσικῇ μίξει.

1.532 Ληιδίην· δούλην, αἰχμάλωτον, καὶ κοῦρσον, ἤως αἰχμαλώτους τε καὶ λαφυραίαν τιμήν· τιμὴ γὰρ πολέμου τὸ κοῦρσον, ἤως αἰχμαλώτους εἰληφέναι τινάς· ἐκ πολέμου ληφθεῖσαν καὶ γενομένην δούλην, καθάπερ αἰχμάλωτον. πολέμου· λαφυραγωγίας. γέρας· τιμὴν, λαφυραγωγίαν, καὶ λαφυραίαν τιμήν. ἴκελα· ὅμοια.

1.533 Ἔργα· συνουσίαι, αἱ μίξεις, αἱ συνουσίαι παρόμοιαι τοῖς σκύλοις τοῖς ἐν τῇ γῇ, ὁμοίως τοῖς κυσὶν ἐξοπίσω, ἀφ᾽ οὗ καὶ συνέχονται· σημείωσαι. χελώναις· ἀντίπτωσις, ἤτοι τῶν χθονίων κυνῶν καὶ εἰναλίων χελωνῶν.

1.534 Ἴκελα· ὅμοια. ἐπεί· διό. μάλα δηρόν· κατὰ πολύ. ἕκαστοι· καὶ οἱ δύο, καὶ ἀμφότεροι καὶ δύο.

1.535 Συνέχονται· συμμίγονται, συνάπτονται, μιγνύονται, ἐξοπίσω συμμίγονται καὶ κεκωλυμένοι. ἀρηρότες· δεδεσμημένοι, ἡρμοσμένοι, συνηρμοσμένοι.

1.536 Ὀλοοί· ὀλέθριοι· οὗτος ὁ ἄρρην πολύπους ἐποχούμενος τῆς θηλείας ἕως ὀλιγωρήσας ἀπέπεσε χαυνωθεὶς καὶ ἐξ ἀσελγείας θνήσκει, ἤως ἀπὸ τοῦ τῆς θηλυμανίας ἔρωτος· οὕτως ἕκαστος τούτων ἀπολλύει. ὄλεθρος· ἀπώλεια, θάνατος.

1.537 Ξυμφέρεται· συνάγεται τῷ γάμῳ. συμφέρεται· ἀκολουθεῖ, γίνεται, ἀποτελεῖται, συγκινεῖται, μικρῶς προσεγγίζει, συμμίγνυται τῷ γάμῳ. ξυνόν· κοινόν. ξυνὸν δὲ τέλος θανάτοιο καὶ εὐνῆς· τοῦ δὲ θανάτου καὶ τῆς κοίτης κοινὸν τὸ τέλος, διότι ὁμοῦ καὶ τὸν γάμον καὶ τὸν θάνατον ἀποπληροῦσιν. ἄλλως· ὅτι τοῦ πολύποδος ὁ γάμος καὶ ὁ θάνατος ἐν τῷ ἅμα γίνεται· οὐδὲ γὰρ ἄλλως ἀφίσταται ἀπὸ τῆς μετὰ τῆς θηλείας συνουσίας, εἰ μὴ τέλεον ἐξασθενήσει, καὶ ὡς νεκρὰ πέσῃ, ὅτε καὶ ἐσθίουσιν αὐτὸν οἱ παρατυχόντες ἰχθύες, οὓς πρότερον ἤσθιεν, ἀλλὰ μὴν καὶ αἱ θήλειαι τούτων θνήσκουσιν ἐν τῷ καιρῷ τῆς κυήσεως διὰ τὸ τὰ ὠὰ αὐτῶν μὴ κεχωρίσθαι ἀπ᾽ ἀλλήλων, ἀλλὰ συνηνεγμένα δίκην βότρυος

ἐξέρχεσθαι, ὡς ἐκ τούτου ἐπέρχεσθαι αὐταῖς λύπην ἀφόρητον, καὶ θνήσκειν αὐτὰς ἀπὸ τῆς τοιαύτης βίας· τούτου χάριν οὐδὲ ζῇ ὁ πολύπους ἐπέκεινα τοῦ χρόνου διὰ τὸ τὸν μὲν ἄρσενα ἀπὸ τῆς ἀπείρου συνουσίας τελευτᾷν, τὴν δὲ θήλειαν ἀπὸ τοῦ τοκετοῦ.

1.539 Πρίν· πρότερον, ἕως οὗ. φιλότητος· συνουσίας. γάμου. ἀπίσχεται· ἀποχωρεῖ, ἀποπαύεται, καὶ χωρίζεται, κωλύεται. ἀπολήγει· παύει.

1.539bis Πρίν· πρὸ τοῦ. ἀπό· ἐκ. προλίπῃ· καταλίπῃ. σθένος· καὶ τὴν δύναμιν. ἀδρανέοντα· ἀδυναμοῦντα, ἀσθενοῦντα, ὀλιγωροῦντα, τὸν ἄρρενα, ἀδυνατοῦντα.

1.540 Ἀμενηνός· ἀσθενὴς, λεπτὸς, μάταιος· παρὰ τὸ μένω μένος, καὶ πλεονασμῷ τοῦ νη μενηνὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμενηνὸς, ὡς τὸ πέτω πετεηνὸς καὶ πετεεινὸς, ἐξ οὗ καὶ ῥῆμα
ἀμενήνωσε δέ οἱ αἰχμήν.
ἀσθενῆ ἐποίησεν, ἀντὶ τοῦ ἀνέκαμψεν. ὄληται· φθαρῇ, ἀπόληται, φθείρεται.

1.541 Πάντες· οἱ ἰχθύες. σχεδόν· πλησίον. ἀντήσουσι· εὐτύχωσι, συναντήσουσιν, ἐπιτύχωσιν. συντύχωσιν· αἱ καρκινάδεσιν οἱ λοιποί.

1.542 Δειλαί· ἀσθενεῖς· ἠδὲ καί· τὸ ἓν καὶ περισσόν· ἀττικῶς.

1.543 Πάρος· πρότερον, ἔμπροσθεν, ἐδαίνυτο· εὐωχεῖτο, ἤσθιεν, ἔτρωγεν. μεθέρπων· βαδίζων, συρόμενος, διερχόμενος.

1.544 Τοῖς ὕπο· ὑπὸ τῶν. ἰστέον, ὅτι ἀντίπτωσίς ἐστιν· ἐχρῆν γὰρ εἰπεῖν· τῶν ὕπο ἀντὶ τοῦ ὑπὸ τούτων ὄλλυται. ζωός· ζῶν. περ· καίπερ. κείμενος· νενεκρωμένος. αὔτως· ἀναίσθητος, ἀμετακινήτως, ἀναισθήτως, ἀπράκτως, ματαίως.

1.545 Ἀμυνόμενος· μαχόμενος, βοηθούμενος παρά τινος, ὑπερπολεμῶν, βλάπτων· ἀμύνω δοτικῇ τὸ βοηθῶ, ἀμύνομαι αἰτιατικῇ παθητικῶς ἀντὶ τοῦ ἀποτρέπομαι. δαιτρεύεται· κατακόπτεται, ἐσθίεται, ἐκεῖνος, καὶ μαγειρεύεται, εἰς λεπτὰ τέμνεται. ὄφρα· ἕως οὗ, μέχρι ἄν, ὅπως. θάνῃσι· ἀποθάνῃ.

1.546 Τοίῳ· τοιούτῳ πόθῳ, ἐν τοιούτῳ πόθῳ. δυστερπεῖ· ἐπὶ κακῷ τέρποντι, κακῶς τέρποντι. φιλοτησίῳ· συνουσιαστικῷ, ἐρωτικῷ, φιλικῷ. δυστερπεῖ φιλοτησίῳ· γάμῳ ἐρωτικῷ. ὄλλυτ'· φθείρεται, διὰ τὴν μίξιν ὄλλυται.

1.547 Ὡς δ' αὕτως· ὁμοίως, ἐκ παραλλήλου τὸ αὐτὸ, οὕτως. μογέουσα· βαρυνομένη, καὶ κακοπαθοῦσα.

1.547bis Καὶ ἀποκριδόν· κεχωρισμένως, διακεχωρισμένως καὶ ἠραιωμένως, ἀποκεχωρισμένως, κεχωρισμένα.

1.549 Διαθρώσκουσιν· ἐκπίπτουσιν, ἐξέρχονται, διεξέρχονται, καὶ ἀποθρώσκουσι, διέρχονται, τὴν γαστέρα λέγει. ἀρηρότα· συμπεπλεγμένα τὰ ὠὰ, ἡρμοσμένα τὰ ὠὰ, ὁμοῦ.

1.550 Μόγις· μόλις· ἀττικόν, βραδέως, βίᾳ. διαΐσσεται· ὁρμᾷ, διεξέρχεται. διανύσεται· διαπορεύεται, διέρχεται. διανίσσεται· ἐξέρχεται, πορεύεται. αὐλοῦ· ὀπῆς, τῆς στενῆς ὀπῆς, διὰ τοῦ στενοῦ αὐλοῦ, τουτέστι τοῦ κρυπτοῦ.

1.551 Λυκάβαντος· χρόνου· λυκάβας ὁ ἐνιαυτὸς, λυκάβας τις ὢν, ἢ λυγαίως καὶ ὀξέως βαίνων καὶ κεκρυμμένως καὶ λεληθότως· καὶ Ὅμηρος
τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθαδ' Ὀδυσσεύς.
λυκάβας ὁ χρόνος διὰ τοὺς δώδεκα μῆνας· τοσοῦτοι γὰρ καὶ οἱ λύκοι τὸν ἀριθμὸν βαίνουσιν. λυκάβας ὁ χρόνος ἀπὸ τοῦ τὸν λύκον ἅπαξ βαίνειν ἐν τῇ γονῇ, ἢ ὁ ἀπὸ λύγης καὶ νυκτὸς γινόμενος. Ἄλλως· λυκάβας ὁ χρόνος, ὅτι οἱ λύκοι καθάπαξ τοῦ ἔτους τὰς εὐνὰς ἐν ἀγρῷ, δηλαδὴ τὰς ἐπιμίξιας ποιοῦνται. Καὶ ἄλλως· λυκάβας ὁ χρόνος διὰ τὸ τῇ φορᾷ τῶν μηνῶν καὶ ἁπλῶς τῶν ὡρῶν, ἤτοι τῶν ἡμερῶν ἐοικέσθαι τῇ τῶν λύκων ἀλληλενδέτῳ βάσει. ὑπέρτερον· ἐπέκεινα, καὶ πλέον. μέτρον· καὶ σταθμόν.

1.552 Ἀποφθινύθουσι· φθείρονται· ἀπὸ τοῦ φθίνω φθινύω καὶ φθινύθω κατὰ παραγωγήν.

1.553 Αἰνοτάτοισι· δεινοῖς. γάμοις· τοῖς τοῦ ἄρρενος, οἱ ἄρρενες. τόκοισιν· κυήσεσιν, αἱ θήλειαι, γέννας,

1.554 Ἀμφί· περί. φάτις· φήμη, λόγος. ἔρχεται· ᾄδεται. ἀΐδηλος· ψευδὴς, ἀφανὴς, ἄγνωστος ἀνθρώποις. οὐκ ἀΐδηλος· ἀλλὰ φανερά.

1.555 Ὅς· ὅτι. ὄφις· ἔχιδνα κυρίως, ὥς φησιν ὁ μέγας βασιλεύς· ἐχίδνην τὸ χαλεπὸν θηρίον. γαμέει· εὐνάζεται. ἐξ ἁλός· ἔξω ἁλός. ἔρχεται· καὶ ἐξέρχεται. αὐτή· ἐπιθυμοῦσα συνουσιασθῆναι τῷ ἐπιθυμητῷ τοῦ ὄφεως γάμῳ.

1.556 Πρόφρων· πρόθυμος, μετὰ προθυμίας, προθύμως. ἱμείρουσα· ἐπιθυμοῦσα, γάμου, ἐφιεμένα. ἱμείροντι· ἐπιθυμοῦντι, ὄφει. Ἰστέον, ὅτι τρισσῶς συνέλθοιεν ἀνήρ τε καὶ γυνή· ἐθέλων γάρ τις ἐθέλουσαν γαμήσει, ἐθέλων μὴ ἐθέλουσαν, καὶ μὴ ἐθέλων ἐθέλουσαν, οὐ μὴ ἐθέλων δέ τις καὶ μὴ ἐθελούσῃ οὐδέποτε συνέλθοι. γάμοιο· τῆς συνουσίας, ἐπιθυμοῦσα συνουσιασθῆναι ἐπιθυμοῦντι καὶ τῷ ὄφει.

1.557 Φλογέῃ· καυστικῇ, φλογερᾷ, διαπύρῳ. τεθολωμένος· ἐσκοτισμένος. τεθοώμενος· καιόμενος, καὶ διεγειρόμενος, ὀξυνόμενος, ὡρμημένος, καιόμενος, πυρούμενος, σκοτιζόμενος τῇ τοῦ ἔρωτος ἀσχέτῳ μανίᾳ, ἐκκεκαυμένος, ἐκπυρούμενος, τουτέστιν ἐξοιστρούμενος, ἐκκαιόμενος τῇ διαπύρῳ λύσσῃ, λέγει δὲ τὸν ἔρωτα, ὃν καὶ θερμὸν εἶπε πρὸ ὀλίγου. ἔνδοθι· καιόμενος. λύσσῃ· μανίᾳ τοῦ ἔρωτος, πυρωθείς.

1.558 Μαίνεται· διεγείρεται μανικῶς, ἔρχεται, ἐγείρεται, ὁρμᾷ, μανικῶς κινεῖται. φιλότητα· συνουσίαν. σύρεται· ἕρπει, ἕλκεται, ἔρχεται.

1.559 Πικρός· ὁ πικροποιὸς, καὶ θανατηφόρος, ὁ ἰοβόλος· ἀλλοπαθὲς τὸ σχῆμα, ἐπειδὴ ἄλλως πικραίνει ὁ ὄφις. ἔχις· ὄφις. τάχα· ταχέως, ἢ πλησίον. γλαφυρήν· κοίλην, κοίλην πέτραν ἰδὼν ὁ ὄφις ἀπεμεῖ τὸν ἰὸν ἐκεῖ, καὶ πάλιν μετὰ τὴν συνουσίαν τῆς μυραίνης ἀναρροφεῖ αὐτὸν, γλαφυρὸν δὲ τὸ κοῖλον ἀπὸ τοῦ γλάπτω τὸ κολάπτω, ἐξ οὗ καὶ γράμματα, ἅπερ ἐνεκόλαπτον τοῖς λίθοις οἱ παλαιοί· γλάπτω γλαφυρὸς, ὡς λέπω λεπυρός· ἐπὶ δὲ τοῦ ἡδέος — λέγεται γὰρ καὶ τὸ γλυκὺ γλαφυρὸν —, ἀπὸ τοῦ γλάπτειν καὶ ὀρύττειν καὶ κινεῖν πρὸς ἡδονὴν, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων· καὶ γλαφυρὰ φόρμιξ ἡ γεγραμμένη καὶ κεκοιλωμένη παρ᾽ Ὁμήρῳ καὶ γλαφὺ τὸ κοῖλον. καὶ Ἡσίοδος·
ἄντρον γλαφὺ πετρῆεν.

Ἐν κοίλῳ μέντοι φησὶ πέτρης ἀπεμεῖ τὸν ἰὸν, καὶ πάλιν μετὰ τὴν ἐκπλήρωσιν τῆς ἐπιθυμίας ἐκεῖθεν λάπτει αὐτόν. ἐσκέψατο· εἶδεν, ἐτήρησεν, ἐρεύνησε καὶ οἶδεν.

1.560 Λοίγιον· θανάσιμον, ὀλέθριον, φθαρτικόν. ἀπήμεσε· ἀπέπτυσεν, ἐξέρασεν, ἐξέχεεν, ἐξέχυσεν, τὸν μιασμὸν ἔχυσεν, ἐξέστασεν πάντα· ὅλον. ὀδόντων· ἀπό.

1.561 Πευκεδανόν· πικρὸν, θανατηρὸν, ἀπὸ μεταφορᾶς τῆς οὔσης φύσει πικρᾶς. ζαμενῆ· λίαν ὀργίλον, ἄγαν ὀργίλον, ἤως βλαπτικὸν, τὸν φθαρτικόν. ὄλβον· πλοῦτον, ὅτι ὡς πλοῦτον τὸν ἰὸν ἔχει ὁ ὄφις.

1.562 Ὄφρα· ἵνα, οὕτως. πρηΰς· ἥμερος, ἥσυχος, ἤρεμος, πραΰς, δωρικῶς, μετὰ πρᾳότητος. εὔδιος· ἥμερος, ἡσυχὴς, ἥσυχος, ἀβλαβής. ἀντήσειεν· συναντήσει, ἀπαντήσειε, ὁ ὄφις δῆλον. ἀντήσηται· μετάσχῃ, συμμεταλάβῃ.

1.563 Στάς· σταθείς. ῥηγμῖνος· αἰγιαλοῦ, αἰγιαλῷ, καὶ ὥρμησα. ἐὸν νόμον· κατὰ τὸν ἴδιον νόμον, κατὰ τὴν ἰδίαν συνήθειαν, κατὰ τὸ ἴδιον μέλος. νόμον· ἔθος. ἐρροίζησε· ἐσύρισεν, ἐσύριξε, καὶ ἐφώνησεν, ἤχησεν· ἰστέον ὅτι ῥοῖζος λέγεται ἡ ἐπὶ χρυσοῦ κτύπος, νῦν δὲ καὶ τὸν συριγμὸν τοῦ ὄφεως λέγει.

1.564 Κικλήσκων· λέγων, μηνύων, καλῶν. φιλότητα· πρὸς μίξιν, εἰς συνουσίαν τὴν μύραιναν. θοῶς· ταχέως, ταχυτάτως. ἐσάκουσεν· μύραινά φησιν ἀκούσασα τὸν τοῦ ὄφεως συριγμὸν ἔξεισιν ἀπὸ τῆς θαλάσσης ταχέως, καὶ συμπλέκεται τῷ ὄφει καὶ μίγνυται. κελαινή· δεινὴ, μέλαινα, μελαίνη, χαλεπὴ, ὀλέθριος.

1.565 Ἰυγήν· συρισμὸν, φωνὴν, βοὴν, κραυγὴν, συριγμὸν καὶ τὸ θέλγητρον. Ἴυγξ ζῶον ἀδικώτατον ἡ λεγομένη σεισοῦρα ἢ κιρναῖος, ἐστὶ δὲ καὶ εἶδος ὀργάνου μουσικοῦ, ᾧ χρῶνται αἱ φαρμακίδες εἰς φιλίαν. Ἴυγξ ὁ ἔρως, καὶ ὄρνεόν τι τὸ λεγόμενον σεισογύης, ᾧ χρῶνται αἱ φαρμακίδες εἰς φίλτρα· ἴυγγας ἔχουσιν ἐν τοῖς λόγοις οἱ σοφισταί· ἴυγγι βοῇ, φωνῇ, καὶ ἰύζει βοᾷ, κραυγὴν ποιεῖ, λέγεται δὲ καὶ ἴυγξ σύριγξ μονοκάλαμος,

σημαίνει δὲ καὶ αὐδήν· καὶ ἰυγμὸς φωνὴ, συριγμός· Ὅμηρος
οἱ δ᾽ ἰύζοντες.
ἐστὶ δὲ πεποιημένη ἡ λέξις, καὶ ἰύζουσιν ἀγροικικῇ φωνῇ προφέρονται, φωνοῦσι, πεποίηται δὲ τὸ ὄνομα παρὰ τὸ ἰοὺ ἐπίρρημα. Ἰυγὴν τὴν βοιωτικὴν φωνὴν, ἴυξ δ᾽ ἐστὶν ὄρνεον, ἐν ᾧ χρῶνται αἱ φαρμακίδες εἰς φιλίαν. ἔσσυτο· ὡρμήθη, ὥρμησεν, ἐξῆλθεν. θᾶττον· ταχύτερον, τάχιον, συντόμως.

1.566 Πόντοιο· βυθοῦ. τιταίνεται· ἐξέρχεται, σύρεται, ἐξαπλοῦται, κατασκευάζεται, ὁρμᾷ, ὁδεύει, ἕλκεται. αὐτάρ· δέ.

1.567 Γαίης· γῆς. Γαίης καὶ γῆς πόθεν γίνεται; παρὰ τὸ γῶ τὸ χωρῶ, ἐξ οὗ καὶ γῆ ἡ χωρητικὴ πάντων· γῶ τὸ δέχομαι καὶ λαμβάνω, ἐξ οὗ καὶ γωρυτός· παρὰ τὸ δέχεσθαι τὸν ῥυτὸν ἤως τὸ τόξον χωρυτὸς καὶ κωρυτός· καὶ γυῖα τὰ μέλη καὶ γύαλον τὸ βαθὺ καὶ χωρητικόν. πολιοῖσιν· λευκοῖς. ἐπεμβαίνει· εἰσέρχεται. ῥοθίοισι· ῥεύμασιν.

1.568 Ὁμιλῆσαι· ὥστε συνουσιασθῆναι, συνελθεῖν, συμμιγῆναι. μεμαῶτε· προθυμούμενοι, πρόθυμοι, ἐφιέμενοι καὶ προθυμίαν ἔχοντες.

1.569 Συμπεσέτην· συνέπεσον, συνῆλθον, συνηυνάσθησαν· δυϊκόν. ἔχιος· ὄφεως. κάρα· κεφαλήν. κατέδεκτο· ἐδέξατο, ἡ δὲ μύραινα τὴν τοῦ ἔχιος κάρην εἰσεδέξατο χανοῦσα· ἀνοίξασα τὸ στόμα, ἡ μύραινα.

1.570 Νύμφη· ἤως ἡ μύραινα. φυσιόωσα· γαυριῶσα, ἐξωγκωμένη, πνευστιῶσα, ἐξωγκωμένας ἔχουσα τὰς παρειὰς, μαινομένη, ἀσθμαίνουσα, ἐπαιρουμένη, γαυρουμένη. γάμῳ· συνουσίᾳ· γάμος παρὰ τὸ δαμῶ τὸ δαμάζω· δάμος καὶ γάμος, ὁ δαμαστικὸς τῶν θηλειῶν, ὅθεν καὶ τὰς παρθένους ἀδαμάστους Ὅμηρος καλεῖ οἷον «παρθένος ἀδμής,» οἱ δὲ παρὰ τὸ γεννᾷν γάμος, ἐτυμολογεῖται δὲ καὶ παρὰ τὸ δύο ἅμα εἶναι κατὰ μετάθεσιν τοῦ δ εἰς γ, γαμβρὸν δὲ τὸν οἰκεῖον καὶ τὸν νυμφίον κατ᾽ ἐπιγαμίαν. ἐπιγηθήσαντε· ἐπιχαρέντες, ἔρωτα σφοδρὸν ἔχουσα, εὐφρανθέντες, χαίροντες.

1.571 Πάλιν· ὀπίσω. εἶσι· πορεύεται, εἰσέρχεται· μετ᾽ ἤθεα· εἰς τὰ ἔθη καὶ σκηνώματα, εἰς τὰς κατασκηνώσεις, διατριβάς.

1.572 Ὁλκός· συρμὴ, τὸ σῶμα, ἡ συστροφὴ, ὁ ἑλιγμὸς, ἢ ἡ σπεῖρα, τὸ σύρμα. κρυερόν· ψυχρὸν, θανάσιμον, τὸν θανατηρόν. μεταχεύεται· μεταλαμβάνει, δέχεται, ἀναρροφεῖ, λαμβάνει, ἀναρροφᾷ, ἀναλαμβάνει, ἀναλέγεται. Μεταχεύεται· μετὰ ταῦτα δὲ πάλιν ἀναλαμβάνει, ὃν ὑπέθηκε χαλεπὸν καὶ θανάσιμον ἰὸν, μετὰ τῆς λύσσης ἀναρροφῶν τοῦτον ὃν ἐξέπτυσεν.

1.573 Λάπτων· ἀναρροφῶν, πίνων, ῥοφῶν· τὸ λάπτω ἐπὶ κυνὸς, εἶπε δ' αὐτὸ καὶ ἐπ' ὄφεως. Λάπτων· ἀναρροφῶν· ἔθος γὰρ τοῦτο πέφυκε τῶν φύσει λαιμάργων καὶ μαινομένων ζώων τὸ ἀναρροφᾶν, καθάπερ ὁ κύων καὶ ὁ λέων καὶ τὰ λοιπὰ, ὡς εἴρηται, ζῶα ποιοῦσι καλύψει χρώμενα. ἦκε· ἔξω ἔπεμψεν, ἔπεμπε, κατήλειψε, κατέλειψεν, ἀφῆκεν. ἐξήφυσεν· ἔμεσεν, ἐξήντλησεν, ἔπραψεν, ἐξέμησεν, ἔπεμψεν, ἐπήντλησεν. Ἐξέφυσεν ἀντὶ τοῦ ἔξω ἔβρεξεν, ἐξήφυσεν ἀντὶ τοῦ ἔξω ἤφυσεν καὶ ἀπήντλησε καὶ ἀπ' αὐτοῦ ἔρριψεν. ὀδόντων· ἀπό.

1.574 Μή τι· μηδαμῶς. κίχῃ· καταλάβῃ. χόλον· ἰόν. Σημείωσαι ὅταν ἀρσενικόν· ὁμοίως καὶ ἐν λύκῳ συγγράφουσιν, ἡ ἀπόδοσις τούτων πρὸς ἀρσενικὸν γίνεται. ὁδίτης· τὴν ὁδὸν διερχόμενος.

1.575 Ἀτρεκέως· ἀφόβως, ἀληθῶς, ἀκριβῶς. ἐσιδών· θεασάμενος, καὶ γνωρίσας. ἀπέκλυσεν· ἀπέπλυνεν, ἀπενίψατο καὶ ἐβύθησεν. λάβρῳ· πολλῷ, σφοδρῷ.

1.576 Ἀυτάρ· μετὰ ταῦτα, δή. ἀσχαλόων· λυπούμενος. ῥίπτει· προσαράπτει, κρούει, καταφρονεῖ, τύπτει. δέμας· σῶμα. δέμας καὶ σῶμα διαφέρει· δέμας μὲν τὸ ζῶν σῶμα παρὰ τὸ δεδεμένον εἶναι τῇ ψυχῇ, σῶμα δὲ παρὰ τὸ σῆμα καὶ μνημεῖον εἶναι τοῦ ποτε ζῶντος, ἤγουν τὸ λείψανον, λαμβάνονται δὲ καὶ ἀντ' ἀλλήλων καταχρηστικῶς. μοῖραν· εἱμαρμένην, θάνατον.

1.577 Λευγαλέοιο· ὀλέθρως, ὀλεθρίου, πικροῦ, τοῦ χαλεποῦ. λάβῃσιν· εὕρῃ, λάβῃ· ἀνωΐστου· ἀπροσδοκήτου, ἀνελπίστου, ἀνυπομονήτου καὶ αἰφνιδίου, ἀνυπονοήτου· ἀνώιστον τὸ μὴ ἐλπιζόμενον ἐκ τοῦ οἴω τὸ ὑπολαμβάνω.

1.578 Αἰδόμενος· εὐλαβούμενος, ἐκτρεπόμενος. ἄναλκις· γυμνὸς, ψιλὸς, ἀδύνατος. οἷς· ἐν οἷς. ἐπεποίθει· ἐθάρρει, ἐθάρρει ἔχειν τοῦ εἶναι ὄφις.

1.579 Ἔμμεν· τὸ ἔχειν καὶ εἶναι. ἔμμεν᾽ ὄφις· τὸ εἶναι ἔχιν. πέτρῃ· ἐν. συνώλεσε· σὺν τῷ ἰῷ ἀπώλεσε καὶ τὸ σῶμα, συνέφθειρεν, ἔφθειρεν.

1.580 Ὁμῶς· ὁμοίως. ἐντύνονται· κατασκευάζονται, κατασκευάζουσι, παρασκευάζουσιν, εὐτρεπίζουσιν, ἑτοιμάζουσιν.

1.581 Μήδεα· τὰ αἰδοῖα ἐκ τοῦ μήδω τὸ κρατῶ καὶ ἄρχω, ἢ ἐκ τοῦ μὴ στερητικοῦ μορίου καὶ τοῦ εἴδω τὸ βλέπω τὰ μὴ βλεπόμενα, ἢ ἐκ τοῦ μὴ αἰδοῦμαι κατ᾽ ἀντίφρασιν· μέζεα τὰ αἰδοῖα καὶ ἐξ αὐτοῦ μήδεα· πρῶτον γὰρ συμβουλεύουσιν αὐτὰ πρὸς συνουσίαν. Ἄλλως· παρὰ τὸ μήδω τὸ ἄρχω· ἀρχὴ γὰρ καὶ αὐτὰ τοῦ σώματος τοῦ ἀνδρός. ἀνδρομέοισι· ἀνδρικοῖς, ἀνθρωπίνοις, τοῖς τῶν ἀνδρῶν. πανείκελα· κατὰ πάντα ὅμοια, ὅμοια. καρτύνονται· ἔχουσι, κέκτηνται, ἐξοπλίζονται, κρατύνουσι, κατέχουσι, καθοπλίζονται.

1.582 Πόρος· τὸ αἰδοῖον, καὶ ὀπὴ, ὁ αὐλίσκος· πόρος ἄρσενος τὸ αἰδοῖον, τουτέστιν ὁ αὐλίσκος τοῦ ἄρσενος δελφῖνος οὔκ ἐστί φησιν ἔξωθεν, ἀλλ᾽ ἔσω κέκρυπται, κατὰ δὲ χρείαν τοῦ συνουσιασμοῦ ἔξωθεν ἕλκεται, ἐκτεινόμενον εἰς τὸ φανερόν. πόρος· ὅπερ οὐκ ἐστὶν ἀεὶ ἔξω, ἀλλ᾽ ἔσω κέκρυπται, κατὰ δὲ χρείαν μίξεως ἕλκεται ἔξω φανερὸς ἐκτεινόμενος. εἴσω· τῆς ὀπῆς ἐντός.

1.583 Λεχέων· συνουσιασμοῦ, συνουσίας, συνουσιῶν. κατὰ χρέος· εἰς χρῆσιν, τὴν χρείαν, κατὰ χρείαν, κατὰ χρῆσιν τοῦ συνουσιασμοῦ.

1.584 Τοῖαι· ἐπανάληψις, συμπερασματικὴ ἔννοια. φιλότητες· ἐπιφώνημα, συνουσίαι. εὐναί· συνουσία.

1.585 Ἀλλοίῃ· ἐν διαφόρῳ. λεχέων· κοιτῶν, συνουσίας, καὶ εὐνῶν. ἱμείρεται· ἐφίεται, ἐπιθυμεῖ. ὥρῃ· ἐν ἄλλῳ καιρῷ. ἀλλοίῃ λεχέων ἱμείρεται ὥρῃ· ἐν ἄλλῳ καὶ ἄλλῳ καιρῷ ἄλλος μίγνυται.

1.586 Γενεήν· γονὴν καὶ τόκον, γένναν, τὸν τόκον αὐτῶν. Γενεήν· τὴν γονὴν, τὸν τόκον αὐτῷ προφαίνει, ὧν μὲν τὸ θέρος, ὧν δ᾽ ὁ χειμὼν, ὧν δὲ τὸ

μετόπωρον, ὧν δὲ τὸ ἔαρ πολλάκις γεννᾶται, τουτέστιν ἄλλῳ μὲν καιρῷ τίκτουσί τινες τῶν ἰχθύων, ἄλλῳ δὲ πάλιν ἄλλοι, καὶ ἕτεροι ἅπαξ τοῦ ἔτους. προφέρει· προφαίνει, ἤως τίκτει, ἐκφέρει, δεικνύει. θέρος· κατά.

1.587 Φθινύθουσα· τελειουμένη. προὔφηνεν· ἔδειξεν, ἐφανέρωσεν. ὀπώρη· ἤως φθινοπωρινὸς καιρὸς, καὶ λέγει τοῦτο κατὰ διάχυσιν, ὁ ὀπωρινὸς καιρός.

1.588 Καὶ οἱ μὲν ἅπαξ τοῦ ἔτους τίκτουσιν, ὁ δὲ λάβραξ δὶς τίκτει, οἱ δὲ κυπρῖνοι πεντάκις, ἐξ οὗ καὶ κυπρῖνος, ὀνίσκον δ' οὐκ ἴσασι, ποσάκις γεννᾷ διὰ τὸ πολύ. λυκάβαντι· τῷ χρόνῳ, τῷ χρόνῳ ὅλῳ δῆλον. μογέουσι· ἀποδιδοῦσι, μετὰ κόπου ὑφίστανται, καὶ τελοῦσιν, ὀδυνῶσιν, κακοπαθοῦσιν· μόγος ἡ κακοπάθεια, ἡ ταλαιπωρία, ὁ κάματος παρὰ τὸ μέγας· ἐν γὰρ τοῖς μεγάλοις πράγμασι κοπιῶμεν· ἢ παρὰ τὸ μὴ ἐᾷν γάννυσθαι καὶ χαίρειν τὸν ταλαιπωροῦντα.

1.589 Δίς· ἐκ δευτέρου, ἐκ δευτέρου γεννᾷ, τοῦ χρόνου. ἄχθεται· βαρύνεται, λυπεῖται. εἰλειθυίαις· γένναις, ὑπὸ τῶν ὠδίνων, γεννήσεσιν.

1.590 Τρίγλαι· τρίγλα διὰ τὸ τρίτον τίκτειν αὐτὰς, οἷον τρίγοναι, καὶ κατὰ συγκοπὴν τρίγναι, καὶ τροπῇ τοῦ ν εἰς λ τρίγλαι. τρίγλαι δὲ τριγόνοισιν· παρήχησις. τριγόνοισι γονῇσι· ταῖς τρισὶ γοναῖς, ταῖς τρισσαῖς γέννας. ἐπώνυμοί εἰσι γονῇσιν· γεννήσουσιν.

1.591 Σκορπίος· ὁ σκορπίος ἐν τοῖς τέσσαρσι καιροῖς φέρει τὸ βέλος τῆς γεννήσεως, ἤως τὴν ὀδύνην τῆς γέννας, ἢ ὅτι ἐν τέτταρσι γέννας φέρει γεννήματα. αὖ· δή. τεττόρεσσι· τέτρασιν, τέσσαρσι, τέταρτον· τέταρτον τίκτει ὁ σκορπίος, εὐθεῖα τὸ τέτταρον· ἡ λέξις καὶ παρ' Ἡσιόδῳ. βέλος· γόνον, γένος, τετράκις ὁ σκορπίος τίκτει. ὠδίνῃσι· γέννας.

1.592 Πέντε δὲ κυπρίνοισι· ὁ σκορπίος τέταρτον τίκτει, κυπρῖνος πέμπτον, ἐξ οὗ καὶ τὸ ὄνομα, ὀνίσκου δὲ γέννην οὐδεὶς ἐνόησεν διὰ τὴν συνέχειαν καὶ ὑπερβολήν. κυπρίνοισι· ἀπὸ τοῦ κύειν πέντε.

1.593 Οἴου· μόνου. οἷον· μόνον· γράφεται οἴου· μόνου. Μόνον τὸν ὀνίσκον οὐκ ἴσασι, ποσάκις γεννᾷ διὰ τὴν ὑπερβολήν· οὐδεὶς εὗρεν ὀνίσκου γένος ποτέ. γένος· τὴν γέννησιν. φράσασθαι· νοῆσαι, διὰ τὸ τίκτειν πολλὰ, διὰ

τὴν ὑπερβολὴν, ὁρᾷν ποσάκις γεννᾷ· οὐδεὶς γὰρ ἐφεῦρεν ὀνίσκου τοκετόν. ὀνίσκου· βασιλίσκου.

1.594 Ἀλλ᾽ ἔτι· ἀλλ᾽ ἀκμὴν, καὶ ἀκμήν. ἀΐδηλον· ἀφανὲς, ἄγνωστον. τέτυκται· ἐστὶν, ὑπάρχει. οὐδεὶς δ᾽ εὗρεν ὀνίσκου γόνον ποτὲ διὰ τὴν ὑπερβολήν.

1.595 Εἰαρινοῖο· κατὰ, κατὰ τὸν καιρὸν τοῦ ἐν τῷ ἔαρι γενομένου. περιπλήθωσι· ἐμπλησθῶσι, περισσῶς γέμωσι, πληροῦνται.

1.596 Τοί· οὗτοι, τινὲς, τινὲς μέν. κατὰ χώραν· ἐπὶ τόπον, κατὰ χῶρον, ἤως ἐπιτόπιοι, κατὰ τὸν ἴδιον τόπον. χῶρον· τόπον·

1.597 Εὔκηλοι· ἥσυχοι. σφετέρῃσι νομῇσι· ἰδίαις διατριβαῖς. ἐνὶ σφετέροισι· ἐν τοῖς ἰδίοις. δόμοισιν· ἤως διατριβαῖς· γράφεται νομῇσιν.

1.598 Ἀγρόμενοι· ἀγειρόμενοι, κατὰ συγκοπὴν, συναθροισθέντες, συναθροιζόμενοι. Πολλοὶ δ᾽ ἀγρόμενοι· ὅτι τῷ ἔαρι πολλοὶ τῶν ἰχθύων ὁμοῦ ἐπὶ πόντον ὁρμῶσι τὸν Εὔξεινον, Εὔξεινος δὲ πόντος ἐστὶν εἰς τὴν μεγάλην θάλασσαν περὶ τὴν Μαιωτίδα λίμνην, ἣν λίμνην καὶ Ἀμαζονίην ἐκάλεσε διὰ τὸ περὶ ταύτην οἰκεῖν τοὺς Ἀμάζονας. ξυνήν· κοινήν. ὁρμαίνονται· πορεύονται, κινοῦνται.

1.599 Εὔξεινον· τὸν εὖ τοὺς ξένους ὑποδεχόμενον, καὶ φιλόξενον, καλόφυλον, γλυκὺν, τὸν τοὺς ξένους καλῶς ὑποδεχόμενον, εὐρυνόμενον. Εὔξεινος πόντος λέγεται ἐν τῇ Λαμψάκῳ, ὧδε δὲ λέγει τῆς Κωνσταντινουπόλεως. Εὔξεινον· ἐρχόμενοι δῆλον. μετά· εἰς, εἰς τόν. ἵν᾽· ὅπως. αὐτόθι. αὐτοῦ, ἐκεῖ. τέκοιεν· γεννήσαιεν.

1.600 Ἀμφιτρίτης· ἐνί.

1.601 Ἀπειρεσίοισι· ἐν πολλοῖς, τοῖς καταρρέουσι καὶ ἀρδευομένοις πολύ. εὐύδροις· γλυκέσι, γλυκυτάτοις. ποταμοῖσι· τοῖς εἰσβάλλουσιν εἰς αὐτόν. Τὸν μὲν χειμωνικὸν καιρὸν ὦδ᾽ ἀνύουσι διὰ τὸ βαθύτατον μέρος ἀχείμαστα εἶναι, ἀπὸ τοῦ ἔαρος μέχρι τοῦ φθινοπώρου διαμένουσιν εἰς τὸν Εὔξεινον πόντον, εὔξεινον δὲ τὸν γλυκὺν λέγει ἀντὶ τοῦ καλὸν καὶ ἡδὺ καὶ προσφιλὲς τοῖς ἰχθύσιν ὕδωρ ἔχουσιν· ἢ ἐνύδροις ἀντὶ τοῦ ἐν παντὶ καιρῷ ὕδωρ ἔχουσιν ἀεννάως· πολλοὶ γὰρ τῶν ποταμῶν τούτῳ μὲν

τῷ καιρῷ ἔχουσιν ἐν ἑαυτοῖς ὕδωρ, ἐν ἐκείνῳ δ᾽ οὐδαμῶς, φημὶ τοὺς λεγομένους χειμάρρους, οἱ δ᾽ ἐν τῷ Εὐξείνῳ πόντῳ ζέοντες ποταμοὶ οἱ πλεῖστοι αὐτῶν διὰ παντὸς τὸ ὕδωρ καὶ ἀένναον ἐν ἑαυτοῖς ἔχουσιν.

1.602 Ἀρδόμενος· γεμιζόμενος, πληθυνόμενος, ἀρδευόμενος, ποτιζόμενος. πολυψάμαθοι· ἀνεῳγμένοι τόποι, οἱ πλατεῖς. ἐπιωγαί· δύσεις, καταδύσεις εἰσὶν ἐκεῖ, καταδύσεις, αἰγιαλοὶ, σκέπαι. Ἐπιωγαί· αἰγιαλοὶ ἔχοντες ἀπανεμίαν, σκέπην ἀνέμων. Καὶ ἄλλως· ἰωγή· ἐνὶ σκέπῃ, ὑφ᾽ ἣν ἴεται καὶ ἄγεται, οἱονεὶ ἰωαγὴ, καὶ συνθέσει ἰωγή.

1.603 Οἱ· αὐτοῦ, ἐν αὐτῷ, τῷ πόντῳ. εὐφυέες· εὐθαλεῖς, καλῶς φύουσαι, καλοήθεις, καλὴν φύσιν διδόντες ἰχθύσιν, οἷον ἤθη, γεννήσεις, καὶ τὰ λοιπά· ἢ αἱ καλαὶ καὶ ἐπιτήδειαι φύειν καὶ αὔξειν τὰ τρεφόμενα ἐκεῖσε· ἢ εὐφυέες κατὰ δριμύτατον, αἱ εὖ ἔχουσαι φύσεως καὶ θήσεως, βοτανώδεις, ἀσθενεῖς. εὐκύμονες· ἥσυχοι. ἀκύμονες· ἄκλυστοι, ἥσυχοι, ἀτάραχοι· τὰ γὰρ βαθέα πελάγη οὐ τοσοῦτον ταράσσονται, καθότι οὐ καταλαμβάνει τὸ πολὺ βάθος ὁ ἄνεμος, τὰ δὲ βραχώδη ἤως βραχέα καταλαμβάνει, καὶ ἐξ αὐτοῦ τοῦ κήτους ταράσσονται αὐτὰ, ὥσπερ καὶ τὸν Εὔξεινον καλούμενον πόντον

1.604 Πέτραι· σχισμαὶ βοτανώδεις. γλαφυραί. κοῖλαι, βαθεῖαι. χηραμοί· φωλεοὶ, κατοικήσεις. ἰλυόεντες· ἰλυώδεις, καὶ βορβορώδεις, ἐπικρυπτικοί.

1.605 Ἀκταί· ἄκραι. ἄκραι· ἐπαναστάσεις, ἀκρωτήρια.

1.606 Οὔτε· οὐδαμῶς. ἀνάρσιον· ὀλέθριον ἀπὸ τοῦ ἀναιρῶ τὸ φονεύω καὶ σκυλεύω, ὀλέθριον, ἄδικον, βλαβερὸν, οὐκ ἔστιν ἐν τῷ τοιούτῳ κόλπῳ. ἀνάρσιον· ἐχθρόν. φονευτικόν. πῆμα· βλάβη.

1.607 Ἐντρέφεται· αὐξάνεται. ὀλέθριον· παρὰ τὸ ὅλως θρασὺ, θανατηφόρον. οὐδὲ μὲν ὅσσοι· οὐδ᾽ οἱ πολύποδες, περιφραστικῶς. οὐδέ· οὐ μήν. μέν· μιν.

1.608 Δυσμενέες· ἐχθροὶ, κακοί. βαιοτέροισιν· μικροῖς, μικροτεροῖς. δυσμενέες ἐπ᾽ ἰχθύσι βαιοτέροισιν· οἱ ἐχθροὶ τῶν μικρῶν ἰχθύων.

1.609 Ὅλκοί· περιφραστικῶς, σώματα, ἤως οἱ πολύποδες, οὐ τὰ σώματα. πουλυπόδων· οἱ πολύποδες. πάγουροι. οἱ μεγάλοι δῆλον.

1.610 Παῦροι· ὀλίγοι, μικροί. δελφῖνες· κῆτός ἐστιν ὁ δελφὶν ὁ μέγας. ἀκιδνότεροι· ἀσθενέστεροι· ἀσθενέστεροι, ἀσθενεῖς.

1.611 Κητείης γενεῆς· ἀπό· τῶν κητῶν γὰρ καὶ ὁ δελφίν. κητείης· πανταχοῦ τοὺς μεγάλους ἰχθῦς κήτη λέγει, οὕτως δὲ καὶ ἐνθάδε τοὺς δελφῖνας. ἀκηδέες· ἀβλαβεῖς, ἄλυποι, μηδὲν ἰχθὺν βλάπτοντες, ἀφρόντιστοι, ἀφρὸν τροφόν· ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ κήδω τὸ βλάπτω, τὸ κήδω δὲ σημαίνει τὸ φροντίζω, τὸ βλάπτω, τὸ ἐπιγαμβρεύω, καὶ τὸ ἐνταφιάζω, ἐξ οὗ καὶ κηδεία ὁ ἐνταφιασμός. ἐννεμέθονται· οἰκοῦσι, βόσκονται, ἐν τῷ πόντῳ.

1.612 Κεχαρισμένον· εὐφρόσυνον, χαριέστατον. ὕδωρ· καὶ ἡ θάλασσα ἐκείνη.

1.613 Ἐκπάγλως· ἐξόχως, ἔξω πάσης γλώττης, λίαν, ἐκπληκτικῶς ἀπὸ τοῦ ἔξω εἶναι πάσης γλώσσης. ἐπισπεύδουσιν· γράφεται ἐπισπέρχουσιν. ἐπισπέρχουσιν· ἐπείγονται, ἐπιθυμοῦσιν. νέεσθαι· πορεύεσθαι, βόσκεσθαι· γράφεται νέμεσθαι.

1.614 Στέλλονται· ἐκεῖσε, πορεύονται, παραγίνονται. ἅμα· ὁμοῦ. ὁμιλαδόν· ἀπὸ τοῦ ὁμοῦ καὶ τοῦ ἴλη ἡ τάξις, κατὰ τάξιν, ὁμοῦ, συνηθροισμένοι, συνηγμένως.

1.615 Εἰς ἕν· ὁμοῦ, μία, ἥως μία καὶ ἡ αὐτή. κέλευθος· ὁδὸς, ὁδοιπορία.

1.616 Πομπή· πρόοδος, κίνησις. ῥιπή· ὁρμή. ἄψ· εἰς τοὐπίσω, ἡ εἰς τοὐπίσω ἐπιστροφή. αὖ· γράφεται ἄψ. παλινόστιμος· ὀπισθόδρομος, μεθυποστρέψιμος, ὀπισθόρμητος. ὁρμή· κίνησις.

1.617 Ἀνύουσι· διέρχονται, τελειοῦσι, πορεύονται. βοὸς πόρον· ἢ τὸν βόσπορον πόντον. αἰολόφυλοι· ποικιλόφυλοι, ποικιλογενεῖς, οἱ ποικίλοι.

1.618 Ἐσμοί· πλήθη, πληθύες. Βεβρυκίνη· τὴν Τρωικὴν, ἐπὶ τὴν Βεβρυκίην, τὴν θάλασσαν τὴν Βιθυνίαν. Βεβρυκίαν λέγει τὴν θάλασσαν ἐκ τοῦ βρύχεσθαι, ἢ ὅτι παράκειται τὸ ἔθνος τῶν Βεβρύκων. παρέξ· ἐκτὸς, διακεχωρισμένα, ὁρμητικῶς, διακεχωρισμένως διέρχονται.

1.619 Στεινόν· ἐπὶ τὸ στεινὸν τοῦ πόντου· ὁ βόσπορος οὖν ὁ τῇ Λαμψάκῳ Εὔξεινος πόντος καὶ ὁ τῆς Κωνσταντινουπόλεως, ὅτι καὶ ὧδε καὶ ἐκεῖ

βοῦς ἡ Ἰνὼ ἐπέρασεν. ἀμειβόμενοι· διερχόμενοι, παρερχόμενοι. πόρον· ἤγουν τὸν Ἑλλήσποντον. ἀμφιτρίτης· θαλάσσης. ἀμειβόμενοι ἔρχονται πάλιν που εἰς τὸν Ἄτλαντα. δι' ἣν αἰτίαν ἔρχονται; ὅτι πρῶτον ἔφυγον διὰ τὴν τοῦ χειμῶνος σφοδρότητα εἰς τοὺς Αἰθίοπας καὶ εἰς τὸν Νεῖλον, καὶ διὰ τοῦτο πάλιν ἔρχονται εἰς τὸν Ἄτλαντα, ἄλλοι δὲ λέγουσιν, ὅτι δύο εἰσὶν Ἄτλαντες, ὁ μὲν εἷς Λιβυκὸς, εἰς ὃν εἶσι καὶ ἡράκλειαι στῆλαι, ὁ δ' ἕτερος κείμενος πρὸς τὴν Αἰθιοπίαν.

Μῦθος παλαιὸς, ὡς Ἄτλας νώτοις φέρει
τὸν οὐρανὸν, κάτωθεν ἐκ γῆς ἀνέχων.
σὺ γοῦν ἀκούων, γνῶθι τοῦτ' ἀλληγόρως·
ὄρος γὰρ Ἄτλας Λιβύων ἐν ἐσχάτοις,
οὗ τὴν κορυφὴν ἐκ νεφῶν κεκρυμμένην
εἶναι δοκοῦσιν οὐρανοῖς συνηγμένην·
ἐντεῦθεν οὖν Ἕλλησιν ἡ μυθουργία,
Ἄτλαντα νώτοις εἰσαεὶ πόλον φέρειν.

1.620 Ὡς· παραβολὴ, παράδειγμα. Αἰθιόπων· γαιῶν δῆλον τῆς Αἰθιοπίας. Αἰγύπτοιο· Νείλου· Νεῖλος ἀπὸ τοῦ ἕλκειν νέαν ἰλύν. ῥοάων· τῶν ῥευμάτων, ῥευμένου, τῶν τῆς Αἰγύπτου.

1.621 Ὑψιπετής· ὁ ἐν τῷ ὕψει πετόμενος. ἔρχεται· κινεῖται, πέτεται· σημείωσαι ὅτι τὸ ἔρχεται ὧδε τὴν ἄνωθεν κἀκεῖθεν φοράν. ἠεροφώνων· ἐν τῷ ἀέρι φωνουσῶν, τῶν ἐν τῷ ἀέρι φωνούντων, ἀέρα φωνούντων.

1.622 Ἄτλαντος· ὄνομα ὄρους ἐν τῇ Λιβύῃ. νιφόεντα· χιονώδη, ψυχρόν. πάγον· ἀκρωτήριον, ὄρος, καὶ τὴν πέτραν. φυγοῦσαι· λιποῦσαι. λιποῦσαι· γράφεται φυγοῦσαι. γράφεται λυποῦσαι πρὸς τὸ σημαινόμενον πρῶτον.

1.623 Πυγμαίων· πιθήκων. ὀλιγοδρανέων· ὀλιγοσθενῶν, ἀσθενῶν, ὀλιγοδυνάμων. ἀμενηνά· ἀσθενῆ. γένεθλα· γεννήματα. γένεθλα· γράφεται κάρηνα· καινοπρεπὲς τὸ σχῆμα.

1.624 Τῇσι· τοῖς γεράνοις, ταῖς γεράνοις. ἀνιπταμένῃσι· πετομέναις. στίχας· τάξεις. κατὰ στίχας· κατὰ τάξιν. εὐρέες· πλατέες, πλατεῖς. ἐσμοί· τάξεις, πλήθη.

1.625 Σκιάουσιν· ἢ κατάσκιον ποιοῦσιν. ἄλυτον· ἀδιάλυτον, οἷον μὴ ἀναλυόμενον, ἀκατάλυτον. ὄγμον· τάξιν, καὶ ὅρδινον, νόμον, ἢ ἦχον· ὄγμος σημαίνει β′ τὴν ἐπίστιχον φυτείαν, καὶ ἐτυμολογεῖται ἀπὸ τοῦ ἄγεσθαι, καὶ τὴν αὔλακα, καὶ γίνεται ἀπὸ τοῦ οἴγω τὸ ἀνοίγω.

1.626 Τέμνουσι· κόπτουσιν. φάλαγγες· τῆς ἁλὸς, τάξεις· γράφεται καὶ κέλευθα. κέλευθα· γράφεται φάλαγγες·

1.627 Εὔξεινον· καλόφιλον, γλυκύν. μετά· γράφεται μέγα. περιπλήθει· γεμίζει, γεμίζεται, πληροῦται, τῶν ἰχθύων.

1.628 Πυκνόν· συχνὸν, πολὺ, πυκνῶς. πυκνῶς· συχνῶς. ὑποφρίσσουσα· ἀφρίζουσα, ταρασσομένη, ἀφριῶσα, ὑποκυμαίνουσα, κύματα ἐγείρουσα. λατυσσομένη· ταρασσομένη, τυπτομένη, κρουομένη, ὀνοματοπεποιημένη ἡ λέξις. πτερύγεσσιν· διὰ τῶν πτερύγων τῶν ἰχθύων.

1.629 Ἐπειγόμενοι· σπεύδοντες, σπουδάζοντες, διερχόμενοι. δολιχὸν στόλον· μακρὰν ὁδόν. στόλον· ὁδὸν, πόνον. ἀμπαύσωσι· τελειώσουσιν, ἀναπαύσωσιν.

1.630 Τόκον· γένναν, τὴν γέννησιν· ἅμα γὰρ τῷ παυθῆναι ἀπὸ τῆς ὁδοῦ καὶ τῶν ἑαυτῶν τόκον ἀποφορτίζονται. ἀλλ᾽ ὅτε μέτρα παραστείχῃσιν ὀπώρης· ἀλλ᾽ ὅτε παρέλθῃ ὁ τοῦ θέρους καιρὸς, τὸ φθινόπωρον παρέλθῃ. παραστείχωσιν· παρέλθωσιν.

1.631 Νόστου· ὑποστροφῆς, ἐπιστροφῆς. κρυερώτερον· χαλεπώτερον, ψυχρότερον.

1.632 Κατασπέρχει· κατεπείγει, βιάζεται, καταπονεῖ, καταπνέει, καταλαμβάνει, κινεῖ. κείνην ἅλα· τὴν Εὔξεινον, τὴν μαυρὴν θάλασσαν. δινήεσσαν· συστρεφομένην, ταραχώδη, τὴν κυματώδη.

1.633 Τηλεβαθής· πολυβαθὴς, ἔχουσα βάθος μακρὸν, τουτέστιν ἐπιμήκη βάθη ἔχουσα· τὰ γὰρ βαθέα πελάγη οὐ τοσοῦτον ὑπὸ τῶν ἀνέμων ταράσσονται, καθότι οὐ διέρχεται πολὺ βάθος αὐτῶν. στυφελίζετ᾽· ταράσσεται, κινεῖται, κλυδωνίζεται.

1.634 Μιν· αὐτὸν τὸν πόντον, αὐτὴν, λίμνην, τὴν Μαιώτιδα λίμνην. ἐπιρρήσσουσιν· ῥηγνύουσι, διασχίζουσι, ταράσσουσιν. ὑπερφίαλοι· μεγάλοι, ἄδικοι, βίαιοι, δεινοί. ὀλοοί· ὀλοθρευταὶ, κακοὶ, ὀλέθριοι.

1.635 Ἀλυσκάζοντες· ἐκφεύγοντες, οἱ ἰχθύες, ἐκκλίνοντες ἀπὸ τῆς Σινωπικῆς θαλάσσης. Ἀμαζονίης· τῆς μεγάλης θαλάσσης, τῶν Ἀμαζόνων· Ἀμαζονίδα λίμνην λέγει τὴν θάλασσαν τὴν παρὰ τὴν Ἀμαζονίδα νῆσον· εἰς γὰρ τὸν Εὔξεινον πόντον οἰκοῦσιν αἱ Ἀμαζονίδες· τὴν θάλασσαν λέγει, ὅπου τῶν Ἀμαζόνων νῆσος, Ἀρτιὰς καλουμένη· περὶ γὰρ τὸν Εὔξεινον πόντον οἰκοῦσιν αἱ Ἀμαζόνες. λίμνης· τῆς Μαιώτιδος.

1.636 Αὖτις· ἰωνικὸν, εἰς τοὐπίσω, πάλιν. τεκέεσσι· τοῖς τέκνοις. ὑποτροπάδην· ὑποστρεπτικῶς, ὑπονοστίμως, ἐξ ὑποστροφῆς. φορέονται· φέρονται, πορεύονται.

1.637 Σκίδνανται· σκορπίζονται, διαχωρίζονται. τρέψονται· μέλλουσι τραφῆναι. τρέφονται· γράφεται τρέψονται.

1.638 Ὅσα· γένη. μαλάκεια· ἀνόστεα· γράφεται καὶ μαλάκια παρὰ τὸ μαλακὰ εἶναι· ἐνταῦθα λέγει τὰς σηπίας καὶ τὰ ὅμοια μαλακὰ καὶ ἀνόστεα. τὰ μαλάκια ἄναιμα ὄντα, ἀνόστεα, ἀφολίδωτά τε καὶ ἀλεπίδωτα ὠοτοκοῦσι, τὰ δὲ σελάχια, ἤτοι τὰ ὀστώδη μὲν, ἀφολίδωτα δὲ καὶ ἀλεπίδωτα ζωοτοκοῦσιν. τὰ ἀναίμονα καὶ τραγανὰ τῶν ἰχθύων καὶ ἀνόστεα σελάχεια λέγεται, ὅσα λεπίδας οὐκ ἔχει, οἷον μύραινα, γόγγροι, νάρκη, τρυγὼν, βοῦς, γαλεὸς καὶ τὰ μείζονα τούτων καὶ κητώδη λεγόμενα, ὡς δελφὶν, φάλαινα, φώκη, καὶ τούτοις δὴ συμβέβηκε μόνοις τοῖς ἐνύδροις ζωοτοκεῖν· μαλάκια δὲ, ὅσα ὀστέα οὐκ ἔχει, καὶ ἀφολίδωτα. μαλάκια τὰ μὴ ἔχοντα ὀστέα, ἢ ὡς ἁπαλὰ καὶ μαλακὰ, οἷον πολύπους, σηπία, τευθὶς, ἀκαλήφη, καὶ εἴ τι ἄλλο τοιοῦτον· πάντα γὰρ ταῦτά φησι ταῖς ὠοφόροις ὠδῖσι πεφρόντισται, τουτέστιν ὠοτοκοῦσιν. φατίζεται· λέγονται, καλεῖται, ὀνομάζεται. οἷσί τ'· καὶ τούτοις, οἵστισί τε τῶν ἰχθύων τῶν ἀνοστέων τῶν ἐχόντων τραγανὰ, ὧντινων.

1.639 Φυή· τὸ σῶμα, ἡ αὔξησις, ἡ διάπλασις. ἀνόστεος· τὰ πολυπόδια λέγει.

1.640 Λεπίσι· λεπίς ἐστιν ἡ ἀποξεομένη, φολὶς δ’ ἡ ἄνω τοῦ δέρματος οὖσα· ἡ γὰρ λεπὶς μετὰ τὸ ἀποξεσθῆναι ἔχει τὸ δέρμα. λεπὶς καὶ φολὶς διαφέρει· ἡ γὰρ λεπὶς λεπτὴ καὶ ἀσθενὴς, ἡ δὲ φολὶς στερεὰ καὶ ὀστώδης. λεπὶς καὶ φολὶς διαφέρει· φολὶς μὲν γὰρ ἡ στερεὰ καὶ ὀστρεώδης, λεπὶς δ’ ἡ λεπτὴ καὶ ἀσθενὴς, ἧς ἀποξεομένης, ὑποκάτω τὸ δέρμα ἐστίν· τὰς καρίδας λέγει. φολίδεσσιν· αὐτοδέρμασιν· φολὶς ἡ αὐτοδέρματος οὖσα λεπὶς, διότι μετὰ τὸ ξεσθῆναι αὕτη ἔχει δέρμα. Ἄλλως· σημείωσαι ὅτι φολὶς καὶ λεπὶς διαφέρει, καὶ φολὶς μέν ἐστι στερεὸν καὶ ὀστῶδες, λεπὶς δὲ τὸ λεπτὸν καὶ ξεόμενον.

1.641 Φρακτά· ὡπλισμένα, ἐσκεπασμένα· φρακτά· ὡπλισμένα· φράζεσθαι γὰρ τὸ ὁπλίζεσθαι, ἐξ οὗ καὶ στρατιῶται φρακτοὶ καὶ κατάφρακτοι. τά· ταῦτα. ὠοφόροισιν· ἐν, ὠὰ γεννῶσιν. ὁμῶς· ὁμοῦ, ὁμοίως. ὠδῖσι· γένναις. βάλλονται· ὀδυνῶνται. μέλονται· φροντίζουσιν ὠοφόρων ὠδίνων, ὑπόκεινται, φροντίζονται.

1.642 Κυνός· τοῦ θαλασσίου· ἐκ δὲ τοῦ κυνὸς τοῦ λάβρου καὶ τοῦ ἀετοῦ, οὗτοι δ’ εἰσὶν ἰχθύες ἐκ τῶν λεγομένων σελαχείων, καὶ τῶν ἐν τοῖς ἰχθύσιν ἀναστρεφομένων βασιλέων δελφίνων, πρὸς δὲ καὶ τῆς φώκης τῆς βοώπιδος εὐθέως οἱ παῖδες, ἥως τὰ γεννήματα ἐοικότα τοῖς γονεῦσι φαίνονται, τουτέστι κατ’ αὐτὰ τὰ γένη· οὐ γὰρ ὠοτοκοῦσι πρῶτον καὶ εἶτα ζωοτοκοῦσιν, ἀλλ’ εὐθέως ζωοτοκοῦσιν· διὸ καὶ τὰ ζωοτοκούμενα ὅμοιά ἐστι τοῖς τοκεῦσιν, ἢ τοῖς γεννῶσιν αὐτὰ, τὰ δ’ ὠὰ οὐχ ὅμοια. λάβροιο· ὁρμητικοῦ, λαιμάργου, ἰσχυροῦ. αἰετοῦ· εἶδος ἰχθύος· ἀετὸς ἀπὸ τοῦ ἀεὶ καὶ τοῦ ἔτος ὁ χρόνος· πολλὰ γὰρ ἔτη ζῇ. ὅσσα· καὶ ἁπλῶς εἰπεῖν.

1.643 Κληΐζονται· καλοῦνται, ὀνομάζονται. σελάχεια· μὴ ἔχοντα βράγχια, τὰ ἔχοντα βράγχια, μαλακά. σελάχια· τὰ μὴ ἔχοντα λεπίδας. ἰχθυνόμων· τῶν μεγάλων νεμομένων περὶ τοὺς ἰχθύας, τῶν περὶ τοὺς ἰχθύας νεμομένων, εἷς.

1.644 Βοώπιδος· τῆς μεγαλοφθάλμου, τῆς καλοφθάλμου. αὐτίκα παῖδες· τοῦτο πρὸς ἀντιδιαστολὴν τῶν ὠοτόκων· καὶ ἐκείνοις γὰρ γίνονται μὲν παῖδες, πλὴν οὐκ εὐθὺς, ἀλλ’ αὐτίκα μὲν ὠὰ, παῖδες δ’ ὕστερον ἐξ ὠῶν.

1.645 Ἐκ γενεῆς· ἐξ αὐτῆς γεννήσεως. ἐκ γενετῆς· ἀπὸ γενέσεως εὐθὺς, ἐκ πρώτης γέννας. γενετῆς· γράφεται γενεῆς. ἀνέχουσιν· ἀναφύουσιν, ἀναδίδονται, ἀναπηδῶσι, γεννῶνται, ἐξέρχονται, ἀναδιδόασι, προέρζονται.

1.647 Ζωοτόκοι· οἱ γεννῶντες ζῶα. ἀμφιέπουσι· περισκέπουσι, φυλάσσουσιν. γενέθλην· τὰ τέκνα, τὰ γεννήματα, τὰ ἴδια τέκνα, τὰ τικτόμενα σώματα.

1.648 Οὔπω· οὐδόλως. θεώτερον· θαυμαστότερον, προνοητικώτερον, ταχύτερον, καταπληκτικώτερον, ὀξυνόστως θαυμαστότερον.

1.649 Ὡς· ὅτι. ὡς ἐτεόν· κατ᾽ ἀλήθειαν, ἀληθῶς, ὡς ἀληθές. Λόγος σημαίνει ια′· λόγος λέγεται ὁ ἐξ ἀναλωμάτων, ὃς λέγεται καὶ τραπεζικὸς, οὗ μέμνηται καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς «τὸν μὲν τῶν χρημάτων λόγον παρὰ πάντων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ.» λόγος λέγεται καὶ ὁ γεωμετρικὸς, οἷον· ἔχει λόγον τὸν ἡμίπηχυν πρὸς τὴν πῆχυν, καὶ δίπηχυν πρὸς τὸ τετράπηχυ. λόγος λέγεται καὶ ἡ φροντὶς, ὡς καὶ παρὰ Μενάνδρῳ·
Οὐδὲ λόγον ὑμῶν, οὐδ᾽ ἐπιστροφὴν ἔχω,
γίνεται δὲ παρὰ τὸ λέγω τὸ φροντίζω. λόγος λέγεται καὶ ὁ ἐκ κλημάτων καὶ ἐπιφορᾶς, οἷον· ἡμέρα ἐστὶ, φῶς ἐστι, τοῦτο λῆμμα. λόγος λέγεται καὶ ἡ λογικὴ κατασκευὴ, καθό φαμεν τοὺς ἀνθρώπους λόγον ἔχειν, τὰ δ᾽ ἄλογα μή. λόγος λέγεται καὶ ἡ δύναμις, ὡς λέγεται κατὰ φυσικὸν λόγον ὀδοντοφυεῖν τὰ ζῶα καὶ γένεια φέρειν, οἷον κατὰ φυσικὰς καὶ σπερματικὰς δυνάμεις. λόγος λέγεται καὶ ἡ συμπλεκομένη φωνὴ τῷ διανοήματι, οἷον τὸ ἄπελθε· τοῦτο γὰρ καὶ λέξεις, ὃ τετύχηκεν, οὗ καὶ λόγος διὰ τὸ εὐτελὲς τοῦ δηλουμένου. λόγος λέγεται καὶ ὁ δηλῶν τὸ αὐτοτελὲς, καθὸ, τινὸς εἰπόντος ἐλλειπῶς φαμεν· τελείωσον τὸν λόγον. λόγος λέγεται καὶ αὐτὸ τὸ βιβλίον, οἷον· δός μοι τὸν κατ᾽ Ἀνδροτίωνος λόγον. λόγος λέγεται καὶ ὁ ἔκτασιν ἔχων τοῦ σπερματικοῦ, οἷον καλὸς ὁ κατὰ Μόδου λόγος Δημοσθένους. λόγος λέγεται καὶ ἀπόθεσις, οἷον· δέδεξο τὸν λόγον τοῦ δράματος. Μυθεύεται περὶ δελφίνων, ὅτι ἄνθρωποι ἦσαν πειραταὶ θαλάττιοι ἢ λῃσταὶ, οἵτινες περιπλέοντες ἐν ταῖς Βάκχαις τοῦ Διονύσου, καὶ χρήματα ἐν τῇ νηῒ ἔχοντες, ἔριν αὐτῷ θέμενοι διὰ τοῦτο καὶ συμβαλόντες ἰχθύσιν ὅμοιοι γεγόνασιν. Μυθεύεται, ὅτι οἱ

δελφῖνες ἦσαν ἄνδρες οἰνοπράται, διότι δ᾽ ἐμίγνυον τὸν οἶνον ὕδατι, βουλῇ τοῦ Διονύσου μετεβλήθησαν εἰς ἰχθύας. Ἰκάριός τις οἶνον διονυσιακὸν κοθρίζων περὶ μίαν τῶν Κυκλάδων ἐπεξενώθη τοῖς ἐκεῖσε οἰκήτορσιν, οἵτινες χοναῖς βουλαῖς πιόντες τὸν οἶνον τὸν ἐναπολειφθέντα ὕδατι κεκεράκασιν, ὅπερ μαθὼν ὁ Διόνυσος ἐξῆλθε κατὰ τῶν ἀνδρῶν, τοῦτο δὲ γνοὺς ὁ Ἰκάριος καὶ μέλλων τὰ δεινὰ παθεῖν παρὰ τοῦ Διονύσου παρακλήσει Διὸς κατηστερίσθη πρὸς οὐρανὸν, καί ἐστιν αὐτὸς ὁ λεγόμενος Ἀρκτοῦρος, οἱ δ᾽ ἐγχώριοι φεύγοντες τὸν Διόνυσον παρακλήσει Διὸς σάρκας ἰχθύων περιεβάλλοντο. φῶτες· ἄνθρωποι, ἄνδρες. ἔσαν· ἦσαν, ἰωνικῶς. πάρος· πρότερον, ἔμπροσθεν.

1.650 Διωνύσοιο· ἀττικῶς, μέγα τὸ ω, μικρὸν δ᾽ ἐκτείνει τὸ ἀμετάβολον, ἰωνικὸν, ἔκτασις. βουλῇ· προσταγῇ.

1.651 Ὑπημείψαντο· ἀντηλλάξαντο, ἠλλάξαντο, τῆς γῆς δηλονότι, εἰς θάλασσαν τὴν χέρσον δῆλον ἀντηλλάξαντο, ἀμειφθέντες ὑπῆλθον, ἄνθρωποι ὄντες ἰχθῦς ἀνεδύσαντο. ἰχθύας ἀμφεβάλοντο· ὡς ἐγένοντο ἰχθύες, περιεβάλοντο τὴν αὐτὴν φύσιν. ἀμφεβάλοντο· περιεβάλοντο, ἐνεδύθησαν, σάρκας περιεβάλοντο, περιέθηκαν.

1.652 Γυίοις· ἐν, μέλεσι, τοῖς ἑαυτῶν δῆλον. ἄρα· δή. θυμός· ἡ ψυχὴ, αὐτῶν, ἡ προθυμία. ἐναίσιμος· συνετὸς, δίκαιος, ἐπαύσετο, θυμὸς ἐναίσιμος, ἤτοι ὁ θυμὸς αὐτῶν δίκαιος καὶ προσηνὴς καὶ μέχρι τοῦ νῦν σώζει καὶ φυλάττει τὴν ἀνθρωπίνην φρόνησιν καὶ τὰ ἔργα, καὶ οὐχ ὡς ἰχθύες διαιτῶνται. εἰσέτι· καὶ ἀκμήν.

1.653 Ῥύεται· σώζεται αὐτὴν, φυλάσσει, ἔχει, ἀνδρομένην· ἀνθρωπίνην, τὴν τῶν ἄνδρων. φρόνιν· φρόνησιν, ἀττικῶς· ἡμὲν φρόνιν ἠδὲ καὶ ἔργα· φυλάσσεται καὶ ὧδε τὸ ἐνεργητικὸν καὶ ἀντιπαθητικόν.

1.654 Ὠδίνων· διά. δίδυμον γένος· δύο γένη τίκτει· δύο γὰρ μόνα τίκτει ὁ δελφὶν καὶ γάλακτι τρέφει. διπλῆ γενεά.

1.655 Αὐτίχ᾽· ἡνίκα. ἐγένοντο· ἐγεννήθησαν. τεκοῦσαν· μητέρα.

1.656 Νηχόμενοι· πλέοντες. σκαίρουσι· πηδῶσι, σκιρτοῦσιν. ἐνδύνουσιν· εἰσέρχονται. ὀδόντων· τῶν μητρικῶν.

1.657 Δηθύνουσιν· βραδύνουσιν· δηθύνω τὸ βραδύνω ἀπὸ τοῦ δὴν ἐπιτατικοῦ μορίου καὶ τοῦ θύνω τὸ βραδύνω.

1.658 Φιλοφροσύνῃσιν· ἀγάπαις, δεξιώσεσι, φιλίαις. ἀνίσχεται· ὑπομένει, ἀνέχεται, ἀνατείνεται, κρατύνει, ἐφέλκεται, ἐνδίδωσιν.

1.659 Στρωφᾶται· στρέφεται, περιστρέφεται, περικυκλοῖ, κινεῖται. γανόωσα· χαίρουσα, καλλωπιζομένη, εὐφραινομένη. καγχαλόωσα· γελῶσα, εὐφραινομένη, εὐφραινομένη λίαν, ὑπερβαλλόντως χαίρουσα, λίαν χαίρουσα· ὥσπερ ἐκ τοῦ χῶ τὸ χέω γίνεται χαίρω, οὕτως καὶ ἐκ τοῦ χῶ χαλῶ καγχαλῶ κατὰ ἀναδιπλασιασμὸν, καὶ καγχαλόω ἰωνικῶς.

1.660 Ἀμφοτέροισι· τοῖς δυσὶ τέκνοις, τοῖς παιδίοις. παρίσχεται· παρέχει, δίδωσιν, ἐνδίδωσιν. οἷον· ἕνα. ἑκάστῳ· ἑνί. Οἷον ἑκάστῳ ἀντὶ τοῦ ἑνὶ ἑκάστῳ αὐτῶν πρὸς ἕνα γάμον μαζὸν δίδωσιν· δύο γὰρ ἔχει καὶ ὥσπερ ὁ ἀρσενικὸς δελφὶν ἀνδρὶ παραπλησίως ἔχει δύο αἰδοῖα, οὕτως καὶ ἡ θήλεια ὁμοίως γυναιξὶ τοὺς δύο μαζοὺς ἔχει. οἷον ἑκάστῳ· ἀντὶ τοῦ ἕνα μαστὸν ἑνὶ τέκνῳ, οἷον ἀν’ ἕνα. ἀμφότερον· δύο γὰρ ἔχει μαστοὺς ἡ θήλεια καὶ δύο τέκνα, καὶ ὥσπερ ὁ ἄρσην αἰδοῖον ἔχει ἀνθρώπινον, οὕτως καὶ ἡ θήλεια ὁμοίως γυναιξὶ μαστοὺς ἔχει δύο.

1.661 Θήσασθαι· ὥστε θηλᾶσαι. λαρόν· γλυκὺ, ἡδὺ, γλυκύτατον, ἐπιθυμητόν· τὸ εἰπεῖν γάλα λευκὸν τοῦτο ἐπιχαριεντισμὸς, ὡς τὸ εἰπεῖν κόρακα μαυρόν· λαρὸν ἀπὸ τοῦ λῶ τὸ ἀπολαύω, ἐξ οὗ καὶ λαιμός. γάλα λαρόν· ἢ λευκόν· χαριεντισμὸς τὸ σχῆμα· γάλα λευκὸν, ἢ κόρακα μέλανα. οἱ· αὐτῇ. ὤπασε· παρέσχεν δαίμων· ὁ θεὸς, ἡ τύχη, ἡ μοῖρα.

1.662 Οἷα· πέλει.

1.663 Τόφρα· ἕως καιροῦ, ἕως τότε, εἰς τοσοῦτον, μέχρι ὀλίγου, ὥστε τότε, ἐπὶ τοσοῦτον τοιαύταις ἀνατροφαῖς ἐν φροντίδι ᾗ. τοίῃσι· ἐν. τιθηνείῃσι· ἀνατροφαῖς, ταῖς τροφαῖς τοῦ γάλακτος. μέμηλεν· φροντίδα ἔχει, διὰ φροντίδος ὑπάρχει, ἕως νηπιάζει, πρόσκειται, φροντίζειν ἀνάκεινται.

1.664 Κουρίζουσιν· ἀκμάζουσι, νέοι ὦσιν. κουρίζωσιν· ἀκμάσωσιν, ἀκμάζωσιν, αὐξήσωσιν, νέοι γένωνται. ἐὸν σθένος· κατὰ, τὴν ἰδίαν δύναμιν.

1.665 Ἡγήτειρα· ὁδηγὸς, ἀγωγὸς, ἡγεμών.

1.666 Ἰεμένοις· προθυμουμένοις, πορευομένοις. διδάσκεται· ἀντὶ τοῦ διδάσκει.

1.667 Πάρος· ἔμπροσθεν. ἑκάς· μακρόθεν, καὶ πόρρω. ἀπολείπει· ἀπολείπεται, καταλιμπάνεται.

1.668 Πρίν· ἕως ὅτου. ἠβήσωσι· αὐξήσωσι, στερεωθῶσι, λάβωσιν. τελεσφόρα· τέλεια, τὰ εἰς τελειώτατον φέροντα.

1.669 Ῥυτῆρες· φύλακες. Ἀλλ᾽ ἀεὶ ῥυτῆρες· ἔπονται αἱ μητέρες, ἤως ἐπίσκοποι, ἤτοι ἔπονται φύλακες, ἐπιφροντισταὶ, ἐπιμεληταί. ἐπίσκοποι· ἐπόπται, θεωρητικαὶ τῶν ἰδίων τέκνων, ἐπιόπται, θεωρηταὶ, ὡς βαϊοῦλοι, ἐπιτηρηταί.

1.670 Οἷον δή· ἀποστροφὴ τοῦ λόγου πρὸς τὸν βασιλέα, μέγα. Οἷον δή ποτε θεάσῃ· πρὸς τὸν βασιλέα ὁ λόγος· ἢ θαυμάσεις, ὅτε πλώων, ὅτε πλέων σὺ, ὦ βασιλεῦ, θεάσῃ τὰς εὐειδεῖς ἀγέλας τῶν δελφίνων, τὸν ἵμερον τῆς θαλάσσης, ὃν ἐπιθυμοῦσι πάντες ὁρᾷ. μετά· ἐν. θηήσαιο· θαυμάσῃ, θαυμάσεις.

1.671 Τερπωλήν· τὴν εὐφροσύνην, χαράν. ἐρόεσσαν· ἐπέραστον, ἐπιθυμητήν. πλώων· πλέων, σὺ ὦ βασιλεῦ, πλεύσεων. ἐσίδηαι· θεάσῃ, ἴδῃς.

1.672 Εὐκραεῖ· γαληνῇ, εὐκράτῳ, μετρίᾳ, πρᾳείᾳ. δεδοκημένος· προσέχων, ἐπιτηρῶν, στοχασάμενος.

1.673 Ἵμερον· εὐπρέπειαν, καλλονὴν, ἐπιθυμίαν, καὶ τὴν εὐφροσύνην, τὸ ποθεινὸν γένος τῆς θαλάσσης λέγω.

1.674 Οἱ μέν· οἱ παῖδες, τῶν δελφίνων. προπάροιθεν· ἔμπροσθεν. ἀολλέες· ὁμοῦ, συνηθροισμένοι. κοῦροι· νέοι.

1.675 Ἠΐθεοι· ἄζυγες νέοι, νεώτεροι, παρθένοι. στείχουσι· προέρχονται. νέον· νεαρόν. ὥστε· ὡσανεί.

1.676 Ἀμειβόμενοι· ἀποτελοῦντες, διερχόμενοι, τυποῦντες, περιερχόμενοι. πολυειδέα· πολλοὺς ἀνθρώπους ἔχοντα, ποικίλον. ποικιλοδίνην· πολύστροφον.

1.677 Τοίδ'· οἱ γεννήτορες, οὗτοι, οἱ πατέρες. ὄπισθεν· ὀπίσω αὐτῶν. μεγάλοι· ὑπάρχοντες, οἱ ὑπερέχοντες. ἔξοχοι· ὑπερέχοντες. ἀπάτερθεν· ἀπὸ μακρόθεν, πόρρωθεν, χωρὶς, μακράν.

1.678 Ἔρχονται· πόρρωθεν. τεκέων· παίδων, τῶν γεννητόρων. φρουρός· φυλακτικὸς, καὶ φύλαξ. ὥστε· λέγω. ἁπαλοῖς· νεαροῖς.

1.679 Φερβομένοις· βοσκομένοις, στρεφομένοις. ἀμνοῖς· ἀρνίοις, τοῖς νέοις προβάτοις.

1.680 Ὡς δ' ὅτε· παραβολὴ, παράδειγμα. μουσοπόλων· ἢ σχολῆς, ἀπὸ τῶν σχολείων, μαθημάτων. ἔργων. ἄπο· μακράν. ἴωσιν· ὑποστρέφωσιν, ἔλθωσιν, ὑποχωρήσουσι, πορεύονται.

1.681 Ἀθρόοι· ὁμοῦ. ἐπίσκοποι· οἱ παιδαγωγοὶ, καὶ ἐπιτηρηταὶ, βαϊοῦλοι.

1.682 Αἰδοῦς· ἐντροπῆς, φόβου, ἕνεκεν. πραπίδων· φρονήσεων, ἕνεκα, παιδεύσεων, βουλευμάτων, διανοιῶν, γνώσεων, γνώμης· ἢ ἀπὸ τοῦ πρέπω πρεπὶς, καὶ πραπὶς, ἡ ἐπιπρέπουσα ἀνθρώπῳ φρόνησις· ἢ ἀπὸ τοῦ προϊῶ κατὰ συγκοπὴν πρῶ, καὶ ἐξ αὐτοῦ πραπὶς, ἐξ ἧς τὰ βουλεύματα προΐασιν. νόου· παιδεύσεως. ἐπιτιμητῆρες· σωφρονισταὶ, διδάσκαλοι, κολασταὶ, ἐπίφρονες, ἐπιμεληταὶ τῆς αἰδοῦς καὶ τῶν πραπίδων τοῦ νοῦ τῶν παίδων· οὗτοί εἰσιν οἱ λεγόμενοι βαϊοῦλοι, παιδευταὶ, κολασταὶ, νουθεταὶ, διορθωταὶ τῆς ἀταξίας αὐτῶν· οὕτω καὶ οἱ δελφῖνες· μικρὰ ὄντα τὰ τέκνα ἔπονται αὐτοῖς καὶ ὁδηγοῦσιν, ἵνα μὴ συναντήσῃ αὐτοῖς τις λυπηρὸς ἐχθρός.

1.683 Πρεσβύτατοι· πρεσβύτεροι, γηραιότατοι. πρεσβύτεροι· οἱ δέ. γῆρας· γνώμη. ἐναίσιμον· ἔντιμον, συνετὸν, δίκαιον, ἐπαινετόν. τίθησιν· ποιεῖ.

1.684 Ὡς· κατὰ τὸ ἔργον, τὸν τρόπον. δελφῖσι· ἐστίν.

1.685 Μή τις· ἰχθύς. μή τίς σφισιν ἀνάρσιος· μή τις αὐτοῖς τοῖς ὀρνέοις τοῖς ἀτελέσιν ἐχθρῶδες συναντήσῃ. ἀνάρσιον· ὀλέθριον. ἀνάρσιος· ἐχθρός, πολέμιος. ἀντιβολήσῃ· συναντήσῃ, ὑπέλθῃ ἀπὸ τοῦ βάλλειν, ἐναντιωθῇ.

1.686 Κομέει· ἐπιμελεῖται, βρεφοκομεῖ, κακοπαθεῖ, ἐπιμελείας ἀξιοῖ τὰ ἴδια τέκνα. χέρειον· πως, ἔλαττον, τῶν δελφίνων, οὔ τι τῶν δελφίνων χεῖρον

ἀλλὰ κρεῖττον, κατὰ τὴν γέννησιν. κομέει· ἐπιμελεῖται, ἀφ᾽ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια.

1.687 Τῇ· καὶ γὰρ τῇ φώκῃ καὶ μαζοὶ καὶ γάλα ὑπάρχει· οὐ μὴν γεννᾷ ἐν θαλάσσῃ, ἀλλ᾽ ἐπὶ τῆς χέρσου λύει τὴν ὠδῖνα καὶ τὸν ὄγκον τῆς γαστρὸς τὸν ἔγκαιρον.

1.688 Ῥοαί· ῥεύματα. τῇδ᾽· τῇσδε, ταύτῃ δὲ τῇ φώκῃ οὐδ᾽ ἐν τοῖς κύμασιν ἡ ὠδὶς προσγίνεται, ἀλλ᾽ ἐπὶ τῆς χέρσου ἀνερχομένη λύει τὸν γαστρὸς ὄγκον τὸν ὥριον ὠδῖνα, ἤτοι εἰς τὴν χέρσον γεννᾷ, καὶ λέγει αὐτὸ μεθερμηνευτικῶς. Δούλῳ γενομένῳ· δουλεύειν φόβου· ἀμνημονεῖ γὰρ ταῦρος ἀργὴς τοῦ ζυγοῦ ὁ πρὸς ὑπόνοιαν βραδὺς ἐκεῖνος καὶ πρὸς κακίαν δυσκίνητος· ὁ λαλῶν καὶ μὴ ποιῶν χαλκῷ ἠχοῦντι ἔοικεν. οὕτι· οὐχί. μετ᾽· ἐν. μετ᾽ οἴδμασιν· ἐν κύμασιν ἀνερχομένη. ἐπὶ χέρσον· εἰς τὴν χέρσον.

1.689 Λύεται· ἐλευθεροῦται, πορεύεται. μόγος· φόρτος, πόνος· κυρίως μόγος ἐπὶ τὴν γένναν ἁπάντων τῶν θηλειῶν· βαρεῖα γὰρ ἡ γένεσις, ἡ τῆς γέννας κακοπάθεια· κυρίως ἐπὶ γέννας γυναικῶν· ἡ κακοπάθεια τῆς γέννας· βαρεῖα γὰρ ἡ γέννησις. ὥριος· ἔγκαιρος, κατὰ καιρόν. ὠδίς· ἡ γέννησις, γέννα. ὥριος ὠδίς· ἡ κατὰ καιρὸν γέννα.

1.690 Μίμνει· περιμένει, καρτερεῖ. δυώδεκα· ἀττικὴ αὔξησις.

1.691 Αὐτοῦ· ἐκεῖ, ἔνθα ἐγέννησεν. τραφερῇ· ἐν τῇ γῇ, τῇ τρεφούσῃ γῇ, τῇ ξηρᾷ. σύν· ἐν. ἠοῖ· τῷ πρωινῷ καταστήματι. σὺν ἠοῖ· σὺν τῇ ἡμέρᾳ.

1.692 Σκύμνους· τὰ βρέφη, τὰ γεννήματα, τοὺς ἰχθύας. ἀγκάς· εἰς τὰς ἀγκάλας, που καὶ εἰς τὰς ἀγκάλας, ἐν ταῖς ἀγκάλαις, ἐστὶ δ᾽ ἐπίρρημα, ὡς τὸ ὀγκάς. ἔχουσα· κρατοῦσα. νεαλδέας· ἁπαλοὺς, νεαυξήτους ἀπὸ τοῦ ἄλδω τὸ αὐξάνω, νέους, ἀρτιγενεῖς, τοὺς νεοκινήτους, ἢ τοὺς νεωστὶ γεννηθέντας, ἢ τοὺς νεωστὶ μαθόντας ἅλλεσθαι, νεωστὶ ὑπὸ τῆς ἁλὸς βρεχθέντας, ἢ τοὺς νεωστὶ ἅλλεσθαι διδασκομένους, ἢ νεαυξήτους, καὶ γίνεται ἀπὸ τοῦ ἄλδω τὸ αὐξάνω, τοῦτο δ᾽ ἐκ τοῦ ἅλλομαι τὸ πηδῶ πλεονασμῷ τοῦ δ, καὶ ἐξ αὐτοῦ ἀλδαίνω καὶ ἀλδήσκω, ἀπ᾽ αὐτοῦ δὲ καὶ ἀμαλδύνειν λέγεται τὸ ἀφανίζειν. δύνει· ἔρχεται. θύνει· καὶ ὁρμᾷ.

1.693 Παισίν· σύν. ἀγαλλομένη· χαίρουσα. σημαίνουσα· δεικνύουσα, τοῖς παισὶν, δηλούμενα.

1.694 Ὡς δέ· παραβολὴ, παράδειγμα. ξείνης γαίης ἔπι· ἐπὶ γῆς ἀλλοτρίας. τεκοῦσα· γεννήσασα, γεννήματα.

1.695 Ἀσπασίως· χαριέντως, περιχαρῶς, ἐνηδόνως. πάτρην· εἰς. εἰσαφίκηται· ἔλθῃ, παραγένηται.

1.696 Ἀγκοίνῃσι· ἀγκάλαις. πανηματίη· δι' ὅλης τῆς ἡμέρας, διὰ πάσης ἡμέρας. φορέουσα· κρατοῦσα, φέρουσα.

1.697 Δώματα· οἰκήματα. δεικνυμένη· δεικνύουσα. μητρὸς νόμον· κατὰ, συνήθειαν, κατὰ τὸ νενομισμένον μητρὶ, ἢ ὡς νενόμισται καὶ ὥρισται τῇ μητρὶ, κατὰ συνήθειαν, κατὰ τὸν τῆς μητρὸς νόμον, ἢ κατὰ τὸν νενομισμένον ταῖς μητράσι νόμον. Καὶ ἄλλως· ὡς νενόμισται τῇ μητρὶ καὶ ὥρισται. ἀμφαγαπάζει· ἀγαπᾷ, τὸ τέκνον, τὸν παῖδα δῆλον, ἔχει.

1.698 Τερπωλήν· ἔχουσα, λέγω εὐφροσύνην, τέρψιν. ἀκόρεστον· ἀχόρταστον. ὁ· ἤως ὁ παῖς. μὴ φρονέων· μὴ γινώσκων, μὴ νοῶν, μὴ φρονῶν, οὐ φρονῶν. ἕκαστα· κατὰ λεπτόν.

1.699 Παπταίνει· βλέπει, ἐπιτηρεῖ· παπταίνω τὸ ἐπιτηρῶ· παρὰ τὸ τὰ φάη πεταννύειν φαπεταίνω, καὶ τροπῇ τοῦ φ εἰς π καὶ ἐν συγκοπῇ παπταίνω. μέγαρον· οἴκημα. ἤθεα· διατριβὰς, καὶ τὰς κατασκηνώσεις, τοὺς συγγενικοὺς τόπους.

1.701 Προφέρει· φανεροῖ. ἔργα· τόπους, τοποθεσίαν, τὰς τοποθεσίας· ἐπὶ λοξὸν σχῆμα, νομάς.

1.702 Δαίμονες· ἀποστροφὴ καὶ ἀναφώνησις πρὸς θαλασσίους θεοὺς, ἀποστροφὴ πρὸς τοὺς θαλασσίους, ἀποστροφὴ πρὸς τοὺς ἰχθύας. οὐκ ἄρα μοῦνον· ἐκπληκτικόν. ἀνδράσι· τοῖς γονεῦσιν, ἀνθρώποις.

1.703 Φάεος· τοῦ φωτὸς, καὶ τῆς ζωῆς ἡδύτερα τοῖς γονεῦσι τὰ τέκνα. φάεος· γλυκερώτερα. βιότοιο· ζωῆς.

1.704 Οἰωνοῖσιν· τοῖς περὶ τὸν ἀέρα βαδίζουσιν ὀρνέοις καὶ τοῖς τὴν γῆν βαδίζουσιν, ὑπάρχουσι τὰ τέκνα. ἀμειλίκτοις· ἀγρίοις, ἀνημέροις, ἀτιθάσσοις, ἀκαμπέσιν. θηρσίν· ἀγρίοις.

1.705 Ὠμηστῇσιν· ὠμοφάγοις, τοῖς ὠμὰ ἐσθίουσι κρέατα, τοῖς ἀγρίοις, ἀπηνέσιν. ἀμήχανος· πολὺς, ἀνεπινόητος, ἀνεπιτήδευτος, ὁ μὴ δυνάμενος ῥηθῆναι, ὃν οὐκ ἔστιν ἐκ μηχανῆς πλάσασθαι καὶ ἐξετέρους διδαχθῆναι, ἀνεπεισακτὸς, αὐτόβουλος, φυσικός.

1.706 Ἐντρέφεται· αὐξάνεται. τεκέων· ἕνεκα. δριμύς· πολὺς, μέγας, γλυκὺς, σφοδρὸς, ἢ γλυκὺς πάνυ· ἔστι γὰρ ὅτε τὸ δριμὺ καὶ ἐπὶ τῆς σημασίας ταύτης λαμβάνεται. ἀμφὶ δὲ παισί· περὶ δὲ παίδων. ἀμφί· περί.

1.707 Ὀϊζυρήν· χαλεπὴν, ἐπίπονον, ἀξίαν θρήνων. κακότητα· κακωτικήν.

1.708 Πρόφρονες· πρόθυμοι, ἑκούσιοι, εἰσὶν, ἕκοντες. οὐκ ἀέκοντες· ἀλλὰ θέλοντες. ἀνατλῆσαι· ὑπομένειν. ἀναπλῆσαι· πληρῶσαι, ὑπομεῖναι, καρτερῆσαι. μεμάασιν· προθυμοῦσιν.

1.709 Ἤδη· ποτέ· τὸ ἤδη ποτὲ σημαίνει ἐνταῦθα, σημαίνει δὲ καὶ τὸ νῦν, καὶ τὸ μέλλον. Τὸ ἤδη σημαίνει τρία, τὸ ποτὲ, ὡς καὶ ἐνταῦθα λαμβάνεται, τὸ ἀρτίως, καὶ τὸ μέλλον. κατ᾽ ὄρεσφιν· ἐν τοῖς ὄρεσιν, κατὰ τοὺς ὄρους, αἰολικῶς. ἐριβρύχην· τὸν ἄγαν βρυχώμενον. ἐριβρύχην· μεγάλως βρυχόμενον λέοντα ὑπὲρ τῶν τεκέων ἀγωνιζόμενον, μεγαλοβρύχην, ἀπὸ τοῦ ἔρι ἐπιτατικοῦ μορίου καὶ τοῦ βρυχῶμαι, τὸν μεγαλόηχον λέοντα περὶ τῶν τεκέων ἀγωνιζόμενον. ἐνόησε· ἀντὶ τοῦ εἶδε, παραβολὴ, τὸ σχῆμα αἴσθησις ἀντὶ αἰσθήσεως.

1.710 Τεκέεσσιν· τέκνοις· ἀντίπτωσις. τεκέεσσιν ὑπερβεβαῶτα· τεκέων ὑπερανιστάμενον, ὑπερμαχόμενον, ἕνεκα ὑπερμαχοῦντα, ἀνθιστάμενον. ὑπερβεβαῶτα· βοηθοῦντα, ὑπὲρ τῶν τέκνων ἀγωνιζόμενον, ὑπερβαίνοντα.

1.711 Μαρνάμενον· μαχόμενον, ἀνιστάμενον ὑπὲρ τῶν τέκνων. πυκνῆς· συνεχοῦς, μεγάλης. πυκινῆς· πυκνῆς.

1.712 Χερμάδος· χεροπληθοῦς λίθου, χειροπληθοῦς πέτρας· χερμὰς ἡ χειροπληθὴς πέτρα ἀπὸ τοῦ χεὶρ χερὸς καὶ τοῦ ὁμάς. ἱπταμένης· ἐρχομένης, πεμπομένης, φερομένης. αἰγανέης· εἶδος ἀκοντίου, ἀκοντίου· αἰγανέα εἶδος ῥιπταρίου ἐπιτήδειον εἰς ἄγραν αἰγῶν, ὁρμητικοῖς κέντροις. Αἰγανέα τὸ ῥιπτάριον ἀπὸ τοῦ ἀΐω τὸ ὁρμῶ· ἢ αἰγανέης καὶ καταπληκτικῆς. αἰγανέης· εἶδος ἀκοντίου παρὰ τὸ δίκην αἰγὸς νέεσθαι ταχὺ, τάχα δὲ παρὰ τὸ ἄγαν νέεσθαι καὶ πορεύεσθαι. ἀλεγίζει· φροντίζει, οὐδαμῶς δ' οὗτος ὁ λέων φροντίδα ποιεῖ τῆς πυκνοτάτης τῶν λίθων τῶν ῥιπτομένων πρὸς αὐτόν.

1.713 Αὔτως· οὕτως, ὁμοίως, ὁμοίως πρότερον, ἀκινήτως. ἄτρεπτον· ἀπτόητον, ἀμετακίνητον, ἀφόβητον. μένος· προθυμία.

1.714 Βαλλόμενος· τιτρωσκόμενος. ἐρεικόμενος· καταβαλλόμενος, σχιζόμενος, κωλυόμενος. ἐρυκόμενος· κωλυόμενος, κυκλούμενος, τεμνόμενος· ἐρείκω τὸ σχίζω καὶ κόπτω διὰ διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρέχθω τὸ σχίζω, ἐξ οὗ καὶ ἐρείκη εἶδος δένδρου, ὅπερ εὐχερῶς σχίζεται, καὶ ἔρειξις ἡ ἐσχισμένη γῆ. ἐρεικόμενος· διασχιζόμενος, ἐξ οὗ καὶ ἐρειγμὸς δίκην κεκοσμημένος κύαμος, καὶ ἐρείκη εἶδος φυτοῦ εὐκόλως σχιζόμενον. βολῇσιν· τρώσεσι, καὶ ἀκοντίσι, πτάγῃσιν.

1.715 Οὐδ'· οὐδαμῶς· οὐδαμῶς παραιτεῖται ὑπὲρ τῶν παίδων τοῦ μὴ ἀντιμάχεσθαι. Ἄλλως· οὐδὲ γὰρ φροντίζει ὁ λέων τὸν θάνατον, οὐδ' ἀναχωρεῖ εἰς τοὐπίσω πρὶν τοῦ θανεῖν καὶ φυλάξαι τὰ τέκνα αὐτοῦ. ὁ φροντιστὴς αὐτῷ περὶ θανάτου οὐκ ἔστιν. πρίν· πρὸ τοῦ, πρὸ θανάτου. ἀναδύεται· ἀναβάλλεται τῆς μάχης, ἀναβάλλεται ῥᾳθύμως, ἢ ἀναχωρεῖ, ῥᾳθυμεῖ. ἐπὶ παισίν· χάριν παίδων. παίδων· παισίν.

1.716 Ἡμιδαμής· ἡμιθανὴς, ἡμίκοπος. ἡμιδαής· ἡμίτμητος, ἡμιμέριστος, ἡμίτρωτος, ἡμιθανής· γράφεται ἡμιδαμής· διαφέρει ἡμιθανὴς καὶ ἡμίθνητος· ἡμιθανὴς μὲν γάρ ἐστιν ὁ τὸ ἥμισυ τῆς ζωῆς ἀποβεβληκὼς, ἡμίθνητος δ' ὁ μέσος ζωῆς καὶ θανάτου. προβέβηκε· προμαχεῖ, προΐσταται, ἀγωνίζεται. μέλει· φροντὶς αὐτῷ, φροντὶς ὑπάρχει, καὶ διὰ φροντίδος ὑπάρχει. μόροιο· θανάτου.

1.717 Τόσσον· ὅσον μὴ ἰδεῖν τοὺς σκύμνους αὐτοῦ ἐρχθέντας καὶ ἀποκλεισθέντας ἐν τῇ καλιᾷ καὶ τῷ σπηλαίῳ τῷ αὐτοφυεῖ. ἀγρευτῆρσιν· ὑπὸ τοῖς κυνηγοῖς, κυνηγῶν.

1.718 Ἐρχθέντας· κλεισθέντας, ζωγρηθέντας, κρατηθέντας, κυκλωθέντας. θήρειον· θηρευτικὸν, τὴν τοῦ θηρὸς, οἰκίαν. αὐτοκμῆτα· αὐτοκατασκεύαστον, αὐτοσκεύαστον, ὄντως, αὐτοφυῆ, ἢ τὸ σπήλαιον λέγει τοῦ λέοντος. καλιήν· φωλεούς.

1.719 Ἤδη· ποτὲ, ὑπάρχει. ἀρτιτόκοιο· νεωστὶ γεννησάσης, τῆς ἄρτι γεννησάσης. κυνός· ὁμώνυμος φωνή· διὰ τί μὴ κλίνομεν κύων κύωνος; δύο κανόνες εἰσὶν οἱ μαχόμενοι· ὁ μὲν εἷς λέγει, ὅτι πᾶσα γενικὴ ὑπερβαίνουσα τὴν δισυλλαβίαν, ἔχουσα πρὸ τοῦ ω βραχὺ φωνῆεν θέλει φυλάττειν τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ, οἷον Ὠρίων Ὠρίωνος, Ἠετίων Ἠετίωνος, ὁ δ' ἕτερος λέγει, ὅτι πᾶσα γενικὴ ἐπὶ κοινοῦ ὀνόματος θέλει γράφεσθαι διὰ τοῦ ο μικροῦ, οἷον ὁ ἀλκυὼν τοῦ ἀλκυόνος, καὶ ἡ ἀλκυὼν τῆς ἀλκυόνος, καὶ ὁ κύων καὶ ἡ κύων· τῶν οὖν δύο κανόνων μαχομένων, ἀπεκόπη τὸ ο, καὶ ἐγένετο κυνός. σκυλακοτρόφῳ εὐνῇ· σκύλακες, τὰ μικρὰ σκυλακία.

1.720 Ἐγχρίψας· πλησιάσας, προσεγγίσας, προσπελασθείς. πάρος· ἔμπροσθεν, πρῶτον. εἶεν· ὑπῆρχεν, ᾖ. ἑταῖρος· φίλος.

1.721 Χάσατο· ὑπεχώρησεν, ἀνεχώρησεν. ταρβήσας· φοβηθεὶς, ὁ ποιμήν. χόλον· ὀργήν. ὑλακόεντα· ὑλακτικὸν, βαϋστικὸν, βαβιστικὸν, τὸν ἀπὸ τῆς ὑλακῆς καὶ βοῆς τῆς κυνὸς γινόμενον.

1.722 Οἷον· ὁποῖον χόλον, πῶς, ποταπόν. προφυλάσσεται· προφυλάσσει, ἔχει, τηρεῖ, φυλάσσει. αἰδῶ· γράφεται ἀνδρῶν.

1.723 Πᾶσιν· ὅλοις. κρυόεσσα· φρικτὴ, ἡ φοβερὰ, ἡ ἀλγεινὴ, ἡ ἐπίφοβος, χαλεπὴ, θανατηρά. πελάσαι· εἰς τὸ, πλησιάσαι.

1.724 Οἷον· ὁμοίως, πόσον. ἑλκομένας· συρομένας. οἷον δ' ἑλκομένας· τὸ δὲ στέναγμα οἷον στενάζουσιν αἱ μητέρες, ἤτοι αἱ θήλειαι βόες οὐ πόρρω ἐπὶ τῶν γυναικείων θρήνων, λυπούμεναι διὰ τὸ μοσχάρια αὐτῶν ἀρθέντα παρά τινων. περί· ἕνεκα. πόρτεις· τὰς νέας δαμάλεις, μικρὰς, τὰς νέας,

δαμάλεις, τὰς μικρὰς δαμαλίδας. Πόρτις ἡ δαμαλὶς ἢ ἀπὸ τοῦ ἄρτι εἰς πορείαν ἥως εἰς ὁδὸν ἔρχεσθαι, ἢ ἀπὸ τοῦ πόρω πόρις καὶ πλεονασμῷ τοῦ τ πόρτις. ἀσχαλόωσαι· λυπούμεναι. ἀσχαλόωσι· λυποῦνται· γράφεται ἀσχαλόωσαι.

1.725 Μητέρες· αἱ θήλειαι βόες. ἀπάτερθε· χωρὶς, μακρόθεν, διακεχωρισμένως, μακρὰν, οὐ πόρρω εἰσὶ τῶν γυναικείων θρήνων. στενάχουσι· στενάζουσιν, ὀδύρονται.

1.726 Κωκυτῶν· θρήνων, ἤχων. κωκυτόν· κωκυτῶν. συναλγύνουσι· συλλυποῦσι, συνθλίβουσιν, εἰς λύπην κινοῦσι, λυποῦσι, κοινωνοὺς ποιοῦσι, θλίβουσιν. νομῆας· βοσκοὺς, ἤτοι τοὺς βοσκοὺς συναλγύνουσι, τοὺς νομεῖς, ποιμένας.

1.727 Φήνας· εἶδος ὀρνέου, ὀρνέου ἐοικότος ἀετῷ, ὄνομα ὀρνέου· φήνη ὄρνεον ὁ λοῦπος κοινῶς, ὄρνεον, ζῶον, εἶδος ἀετοῦ. ἀδινόν· οἰκτρόν. γόον· θρῆνον. ἔκλυεν· ἤκουσεν, ἤκουεν.

1.728 Ὄρθριον· κατὰ τὸν ὄρθρον. ὀρθριαίτερον· ἀντίπτωσις, ταχινόν· ἢ ὄρθριοι καὶ ἐγειρόμενοι, ἢ ὄρθριον καὶ πρωινόν. τέκεσσ'· ἀηδόνος· Πρόκνη καὶ Φιλομήλη ἐγένοντο ἀδελφαί· ἡ Φιλομήλη συνῴκει ἀνδρὶ, καὶ ἔτεκε τέκνον· ὁ γοῦν ταύτης ἀνὴρ συνῆλθε τῇ Πρόκνῃ, ὃ γνοὺς ἡ Φιλομήλη ἀναιρεῖ τὸ οἰκεῖον παιδίον· τοῦτο μαθὼν Τηρεὺς, ὁ ταύτης ἀνὴρ ἀνερευνᾷ, ὅπως αὐτὴν διαχειρίσηται· ἄμφω γοῦν τοὺς τρεῖς ὁ Ζεὺς εἰς ὄρνεις μεταβάλλει, τὸν μὲν εἰς ἔποπα, ὃς λέγει ποῦ, τὴν δὲ Φιλομήλην εἰς ἀηδόνα, ἣ φωνεῖ τὸ οἰκεῖον τέκνον· ἴτην, τὴν δ' ἑτέρην εἰς χελιδόνα, ἥτις λέγει Τηρεύς. αἰολοφώνου· ποικιλοφώνου.

1.729 Ἔκυρσε· ἐνέτυχε, συνέτυχεν.

1.730 Μυρομέναις· θρηνούσαις, κλαιούσαις. σφισιν· φῶν, καὶ αὐτῶν, κατ' ἀντίπτωσιν, ἑαυτοῖς. ληΐσαντο· ἐλαφυραγώγησαν, ἔλαβον, ἥρπασαν.

1.731 Ἀπηνέες· ὠμοί. δράκοντες· ὄφεις.

1.732 Ἰχθύσιν· ἐν δὲ τοῖς. ἀριστεύει· νικᾷ, προέχει, κρείττων τυγχάνει, ὑπερνικᾷ, ὑπερμαχεῖ, πρωτεύει. φιλότητι· φιλίᾳ.

1.733 Ὡς· ὡσαύτως, καθὰ, καθὰ ἄλλα σὺν ἐκείνοις τοῖς δελφῖσιν, ὁμοίως. καὶ ἄλλοι· σὺν ἐκείνοις, σὺν τούτοις. ἀμφιέπουσι· περιφυλάσσουσιν, ἐπισκέπουσιν, ἀγαπῶσι, στέργουσιν, ἀσχολοῦνται, φυλάττουσιν.

1.734 Θαῦμα· σημείωσαι· παραβολή. ἁλιπλάγκτοιο· τῆς ἐν ἁλὶ πλανωμένης, τοῦ πλαζομένου καὶ τοῦ πλανωμένου ἐν τῇ θαλάσσῃ. Τὸ κύων ὁμώνυμος φωνή ἐστι, ὁμώνυμος δὲ φωνή ἐστι πρᾶγμά τι ἀμφιβαλλόμενον, οἷον λέξις τις σημαίνουσα πολλὰ, ὡς τὸ ζυγός· καὶ ζυγός ἐστιν ὁ τῶν βοῶν, καὶ ὁ τῶν ποτε ἁρμάτων, ὁ τῆς κινύρας, καὶ ἡ τῆς πλάστιγγος, ἤως τοῦ ζυγίου, διαφέρει δ' ἕκαστον κατά τε τὸ εἶδος καὶ τὴν φύσιν· οὕτω καὶ κύων μία λέξις σημαίνει πολλὰ, κἂν καὶ οὐκ εἰσι τὰ πάντα κατὰ τὸ εἶδος ἓν, οἷον λέγομεν κύων, καί ἐστι χερσαῖος, θαλάσσιος καὶ ἄστρον τὸ κύναστρον κατὰ τὸν ὀπωρινὸν καιρὸν φαινόμενον· ὁ μὲν χερσαῖος ζῶον ἔμψυχον, τετράπουν, ὑλακτικὸν, ὁ θαλάσσιος ζῶον ἔμψυχον, νηκτικὸν, τὸ ἄστρον τὸ λεγόμενον κύων οὐσία ἀναίσθητος φωτιστική· οὕτως καὶ πάντα τὰ ἀμφιβαλλόμενα, οἷον ἄνθρωπος ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, καὶ ἄλλο τι οὐ λέγεται ἄνθρωπος.

1.735 Νεοβλαστῆ· τὰ νεωστὶ βλαστόντα, τὰ νεωστὶ γεννηθέντα. σάκος· ἀσπίς· σάκος τὸ σκουτάριον ἀπὸ τῶν πρώτως εὑρόντων αὐτὸ Σακῶν, καταφυγή· σκουτάριον καὶ βοήθημα καὶ ἀσπὶς καὶ καταφυγὴ αὐτῶν γίνεται ἡ μητήρ· ὑπ' αὐτὴν γὰρ καταφεύγουσιν. ἔπλετο· ὁ παρατατικὸς ἀντὶ ἐνεστῶτος, ὑπάρχει, ἐγένετο.

1.736 Ταρβήσωσι· φοβηθῶσιν. ἄσπετα· πολλὰ, ἀπλήρωτα. δείματ'· φόβηθρα.

1.737 Λαγόνεσσιν· τῇ γαστρὶ, ὑπὸ τὴν γαστέρα ἔσω, τῶν λαγόνων. ἔδεκτο· ἐδέξατο, ἐπεφύλακτο.

1.738 Αὐτήν· τὴν κρύφιον. ἴσθμην· κοιλίαν, νηδύν· ἴσθμη στενὴ εἴσοδος ἀπὸ τοῦ ἰσθμὸς, στενὴν ὁδόν· ἴσθμη ἡ στενὴ ὁδὸς καὶ εἴσοδος, νῦν δὲ τὸ τῆς θηλείας κρυπτὸν καὶ κρύφιον λέγει, ὅτι δι' αὐτοῦ πάλιν εἰς τὴν γαστέρα αὐτῶν εἰσδύνουσι, ἧσθμη δὲ τὸ σακελιστήριον διὰ τοῦ η, καὶ γίνεται ἀπὸ τοῦ ἠθῶ τὸ σακελίζω, ἴθμη δ' ἐκ τοῦ εἴω τὸ πορεύομαι, εἴσω, εἴσομαι παθητικόν· ἐκ τούτου γίνεται ἴσμη καὶ ἰσμὸς πᾶν τὸ στενὸν, καὶ τροπῇ τοῦ σ εἰς θ ἴθμη καὶ εἰσίθμη. ἴσθμην εἰς στενὴν ὁδὸν, λέγει τὸ κρύφιον.

ἴθμη λέγεται ἡ στενὴ εἴσοδος. εἰσίθμην· ἤγουν ὀπήν. αὐτὴν ὁδόν· λέγει. ἔνθεν· ἀφ᾽ οὗ, ἀφ᾽ ἧς, ὅθεν, ἐξ οὗ. ὄλισθον· ἔπεσον, ἐξέπεσον, ἐξῆλθον.

1.739 Γεινόμενοι· γεννώμενοι, γεννηθέντες, εἰς φῶς ἐρχόμενοι, τικτόμενοι. μογέουσα· κακοπαθοῦσα. περ· καίπερ. ἔμπης· ὅμως, σύνδεσμος αἰτιολογικός.

1.740 Τέτληκε· ἐκαρτέρησε, καρτερεῖ, ὑπέμεινεν, ὑπομένει. πάλιν· ἐκ δευτέρου. δέ· γάρ. ὑπεχεύατο· ὑπεδέξατο, ὑπέβαλεν, ὑπέθηκεν.

1.741 Σπλάγχνοις· ἐν τοῖς. ἄψ· ὀπίσω, εἰς τοὐπίσω, πάλιν, ὄπισθεν. ἀνέηκεν· ἀνέπεμψεν, ἐξέμεσεν, ἐνέδωκεν, ἀνῆκεν, ἔρριψεν. ἀμπνεύσωσι· ἀνωθῶσιν, ἀπαλλαγῶσι, παύσωσιν, ἀναπνεύσωσιν.

1.742 Τεκέων· ὑπέρ. πορσύνεται· εὐτρεπίζει, παρέχει, εὐτρεπίζεται, παρασκευάζει, ποιεῖ, ἀπὸ τοῦ πόρω τὸ παρέχω, οὗ ὁ μέλλων πόρσω αἰολικῶς, ἐξ οὗ καὶ παραγωγὸν πορσύνω. ἀλκήν· βοήθειαν, ὑπεράσπισιν, ἀποσόβησιν.

1.743 Νηδύν· γαστέρα. κείνης· τῆς ῥίνης. κείνῃ· ἐν ἐκείνῃ. δύσις· εἰσέλευσις, ἐπέλευσις, κατάδυσις, κύνεσσιν· σκύλοις.

1.744 Ἄρα· δή. οἱ· αὐτῆς. ὑποσφάγες· σχίσματα, ῥαγάδες, ὀρύγματα, κοιλώματα, ἀνοίγματα καὶ κοιλότητες· σφὰξ ἡ σχισμὴ, ἐξ οὗ καὶ σφάζω καὶ σφαγή· ἐν τῇ σφαγῇ γὰρ σχισμὴ γίνεται. Ὑπόσφαγες· λέγει διαρραγῆ, ἀνοίγματα, κοιλώματα ἐξ ἀμφοτέρων τῶν μερῶν ὑποκάτω τῶν πλευρῶν οὖσαι, ἧς τι ταῖς ὑποσφάγεσιν ἀμφικύπτει, ἀτυζομένων τῶν τεκέων τὸν φόβον.

1.745 Πτερύγων· τῶν. γένυς· στόμα, ἡ τοῦ στόματος διαρρὼξ, ἤτοι σχισμὴ τοῦ στόματος.

1.746 Τῇσιν· αἷς, ταῖς κοιλότησιν, ἐν ταῖς πτέρυξιν. ἀτυζομένων· πεφοβημένων, φοβουμένων, ταρασσομένων, βλαπτομένων. ἀμφικαλύπτει· περισκέπει, κρύπτει, ἀφανίζει, περιέπει.

1.747 Διά· ἀνὰ, κατὰ, εἰς τό. ταρβήσαντα· φοβηθέντα.

1.748 Δεξάμενοι· λαβόντες. ῥύονται· φυλάσσουσι, φυλάσσονται, ἐλευθεροῦσιν. δόμον· οἶκον, οἴκημα. ᾗέ· ᾗ· γράφεται ᾗδέ. καλιήν· φωλεάν.

1.749 Οἷον· ὥσπερ, ὁποῖον, ποιεῖ, κατ᾽ ἔλλειψιν, ἔξοχα· ἐξόχως, λίαν, περισσοτέρως.

1.750 Ὠοτοκῆες· γεννῶντες ὠὰ, ὅτι ὁ γλαῦκος διαφέρει τῶν ἄλλων ὠοτοκούντων ἰχθύων· ὅ τι οἱ δελφῖνες τῶν ἄλλων ἰχθύων διαφέρουσι τῶν μὴ ὠοτόκων, οὗτοι δ᾽ οἱ γλαῦκοι τῶν ὠοτόκων.

1.751 Μίμνει· μενεῖ, καρτερεῖ. παρήμενος· παρακαθήμενος, παραθέμενος. ὄφρα· ἕως ὅτου, ἕως οὗ. γένωνται· γεννηθῶσιν.

1.752 Ὑπωάδιοι· ὑπ᾽ ὠῶν τικτόμενοι, ἤτοι ὄντες ἔσω τῶν ὠῶν, ὑπ᾽ ὠὰ καθήμενοι. ἐπωάδιοι· ἐκ τῶν ὠῶν, ἐπὶ τοῖς ὠοῖς, ἢ ἔξω τῶν ὠῶν. ἐπωάδιοι ἀπὸ τοῦ ὠάδιος. σφιν· τούτοις. παρανήχεται· παραπλέει, πλησίον πλέει.

1.753 Τούς· τούτους δὴ, ἰωνικὸν, τοὺς παῖδας τούτου. τρομέοντας· φοβουμένας. κρατερώτερον· ἰσχυρότερον.

1.754 Ἀμφιχανών· ἀνοίξας. κατέδεκτο· ἐδέξατο. διά· εἰς, κατά. μέσφα· ἄχρις οὗ, μέχρις ἄν, ἕως οὗ, ἕως ὅτου, μέχρις ὅτου, ἕως ἄν, αἰολικόν.

1.755 Χάσσηται· ὑποχωρήσῃ, ἀφανισθῇ. αὖτις· ἰωνικὸν, καὶ πάλιν, εἰς τοὐπίσω. ἀνέπτυσεν· ἐξήγαγεν. λευκανίηθεν· ἀπὸ τῆς λευκάνης, ἢ στόματος· λευκάνοι οἱ ὀδόντες, καὶ λευκανίηθεν ἀπὸ τῶν ὀδόντων. λευκανίηθεν· ἀπὸ τοῦ λαιμοῦ· λευκανία γὰρ ὁ λαιμὸς, λεύκανες οἱ ὀδόντες ἀπὸ τοῦ λαύω τὸ ἀπολαύω. λευκανία ὁ λαιμὸς, καὶ τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος παρὰ τὸ λευκὸν εἶναι φύσει· ἢ παρὰ τὸ χεύω χευκανία καὶ λευκανία, ἢ ἀπὸ τοῦ λῶ τὸ ἀπολαύω, ἢ ἀπὸ τοῦ χαίνω τὸ χάσκω, ὡς καὶ ἀπὸ τοῦ οἴω τὸ κομίζω οἰσοφάγος· ἐνταῦθα ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον· ἀπὸ γὰρ τοῦ λαιμοῦ ὁ λευκὸς ἀφρὸς γίνεται.

1.756 Ἐγών· ἐγώ. ἀθεμίστερον· ἀδικώτερον.

1.757 Κακοφροσύνῃ· καὶ κακαῖς καὶ ἀγρίαις φρεσὶ, μωρίᾳ, κακίᾳ. προβεβηκότα· προέχοντα, ὑπερβαίνοντα, νικῶντα, νενικηκότα.

1.758 Τέκῃσι· ἰβύκιον, γεννήσῃ, θέλομεν. ὠδῖνα βαρεῖαν· οὐ τῆς θύννης μόνον εἶπεν, ἀλλὰ καθολικῶς· παντὶ γὰρ ζώῳ βαρεῖα ἡ ὠδίς. ὠδῖνα· τὸν τοκετόν.

1.759 Γειναμένη· ἡ γεννήσασα, καὶ ἡ τεκοῦσα. καταδαίνυται· κατεσθίει, καὶ τρώγει, εὐωχεῖται. κίχῃσι· καταλάβῃ.

1.760 Νηλής· ἀθλία, ἢ ἀνηλεῶς, ἀνηλεὴς, σκληρὰ, καὶ διελὴς, ἡ ἐστερημένη ἐλέους. νηΐδ'· ἄπειρα, ἐστερημένα, ἀδύνατα, ἄπορα ὄντα φυγῆς, ἐστερημένα ὄντα φυγῶν, ἀσθενῆ, ἐστερημένα φυῆς, ἐστερημένα δυνάμεως.

1.761 Ἐσθίει· τρώγει. οἶο· ἰδίου, ἑοῖο, καὶ ἀποβολῇ τοῦ ε οἷο, τοῦ ἰδίου τέκνου· ἑοῖο ἦν· ἀφαιρέσει τοῦ ε οἷο.

1.762 Ἔστι· ζῶα δῆλον ἕτερα, εἰσίν. γάμοισι· συνουσίαις. φυτεύεται· γεννᾶται, ἀναδίδονται. γονῇσι· γένναις, ὠοῖς, ἀπορροαῖς.

1.763 Τίκτεται· γεννᾶται. αὐτοτέλεστα· αὐτοφυῆ, αὐτοκίνητα, αὐτόπρακτα. αὐτοκέλευθα· αὐτοφυῆ, αὐτενέργητα, αὐτογέννητα· γράφεται αὐτοτέλεστα. αὐτόρρεκτα· αὐτόματα, αὐθύπαρκτα, αὐτόπρακτα, αὐτοκατασκεύαστα, αὐτόματα, αὐτοφυῆ. γένεθλα· γεννήματα.

1.764 Τά τ'· ταῦτα. τίκτεται· γεννῶνται.

1.765 Οὔτε τι θῆλυ· οὔτ' ἄρρενες, οὔτε θήλεις εἰσίν. ἀπ' ἀμοιβῆς· ἐκ διαδοχῆς. ἐπ' ἀμοιβῆς· σπορᾶς, διαδοχῆς, ἀναλλαγῆς, ἐναλλαγῇ, ἀπὸ συνουσίας.

1.766 Ὁμόφυλα· ὁμοειδῆ, ὁμοφυῆ, ὁμογενῆ, μιᾶς φυλῆς, ἶσα. ἴκελα· ὅμοια. τὰ ὀστρακόδερμα οὔτε θῆλυ ἔχουσιν, οὔτ' ἄρσεν, ἀλλ' αὐτόπρακτα καὶ αὐτοφυῆ τίκτονται, ἐπ' ἀμοιβῆς δ' ἐκ διαδοχῆς καὶ σπορᾶς ἄρρενος. τέτυκται· καί εἰσιν, ὑπάρχει.

1.767 Ὡς· ὡσαύτως, ὁμοίως, οὕτως, ὧδε. οὐτιδανῆς· ἀσθενοῦς, μικρᾶς· γράφεται ἠπεδανῆς. ἠπεδανῆς· ἀσθενοῦς. ἀφύης· ἐγγραύλεως, ἐγγραύλου, ἐγγραύλης, ἀκτάρας· ἀφύη ἡ ἔγγραυλις, γίνεται ἀπὸ τοῦ α τοῦ σημαίνοντος τὸ κακὸν, καὶ τοῦ φυὴ ἡ τοῦ σώματος διάπλασις· κακοφυὴς

γὰρ ἀληθῶς ἡ ἀφύη. ὀλιγηπελές· ὀλιγόβιον, ὀλιγοδύνατον, ὀλιγοζώητον, ὀλιγοδύναμον. ὀλιγοπελές· ὀλιγοδύναμον.

1.768 Οὔ τινος· οὐδαμῶς. ἐκγεγάασιν· γεννῶνται, ὑπάρχουσι, γεγέννηται. αἵματος· σπέρματος, γένους. τοκήων· γεννητόρων, ἀπὸ, γονέων.

1.769 Εὖτε· ὁπηνίκα, περίφρασις. νόος· βουλὴ, θέλησις. ἀφύσσῃ· βρέξει. ἀφύξῃ· ἀποπέμψῃ, ὑπαντλήσῃ. ἀέξῃ· σωρεύσῃ, συναθροίσῃ.

1.770 Λάβρον· σφοδρὸν, πολὺν, βαρὺν, μέγαν· ὑπέρ· ὑπεράνω, ἄνω, ἐπάνω. ἄσχετον· πολὺν, καὶ μέγα. αὐτίκα· αὐτῇ τῇ ὥρᾳ.

1.771 Σμιγομένη· μιγνυομένη, ταρασσομένη, μιγνυμένη. δίνῃσι· συστροφαῖς, ῥεύμασιν. παλιμπνοίῃσι· παλιρροίαις· γράφεται ἅμα πλήθουσιν. ἅμα· ὁμοῦ καὶ ταῖς στροφαῖς τῶν γλυκέων ὑδάτων. πλήθῃσι· πληροῦται.

1.772 Σίζει· ἠχεῖ, ποιὰ φωνὴ, κυρίως ἐπὶ τηγανοῦ, ταράσσεται, κινεῖται, ἠχεῖ ποιόν τινα ἦχον· ὥσπερ καὶ τὸ φλοῖσβος, καὶ αὐτὴ ποιὰ φωνή. ἀφριάα· ἀφρὸν ἀποτελεῖ, ἀπογεννᾷ, ἦχον ἀποτελεῖ καὶ ἀφρόν. ἵσταται· γίνεται, ὑψοῦται, ἐξίσταται. οἰδαίνουσα· ἐξωγκωμένη, ἐξογκουμένη, κυματουμένη· γράφεται οἰδμαίνουσα.

1.773 Αἱ δ'· αἱ ἐγγραύλεις, αἱ ἐγγραῦλαι. ἀτεκμάρτοις· ἀσημάντοις, ἀσημειώτοις, ἀκατανοήτοις. ἀσκέπτοισι· κρυπτοῖς, ἀοράτοις. ἀσκόποισιν· ἀτελειώτοις, ἀδήλοις, καὶ μὴ δυναμένοις γνωσθῆναι, ἀβλέπτοις. γάμοισιν· ὑπὸ γάμων.

1.774 Ἀθρόαι· ὁμοῦ, πολλαί. ἐκ τ' ἐγένοντο· καὶ ἐγεννήθησαν. ἔκτραφεν· ἐτράφησαν, πρωθύστερον.

1.775 Μυρίαι· ἀναρίθμητοι, πολλαί. πολιόν· λευκόν. γενέθλης· γεννήσεως, γέννας, γενεᾶς.

1.776 Ἐπικλήδην· ἐπωνύμως, καὶ ἐπονομαστικῶς, ἢ τὴν ἐπωνυμίαν, ὀνομαστικῶς. αὐδώωνται· καλοῦνται.

1.777 Ἰλυόεντος· τοῦ ῥυπώδους, βορβόρου. ἰλυόεντες· σηπεδονώδεις. ὑπέκ· ὑποκάτω. φλοίσβοιο· ταραχῆς. Σημείωσαι ὅτι τὸ πολυφλοίσβοιο ποιὰ

φωνή ἐστι, καὶ λέγεται ἐπὶ θαλάσσης, ἐκτεθεῖσα ἀπό τινος φυσιολόγου Θετταλοῦ καλουμένου Σχολαστικοῦ. φύονται· γεννῶνται, ἐξέρχονται.

1.778 Δίνῃσι· συστροφαῖς. παλιρροίαις· ταῖς ὑποστροφαῖς τῶν κυμάτων, κύμασι, ταῖς εἰς τοὐπίσω ῥεύσεσιν, ἢ ταῖς ἀναστροφαῖς τῶν κυμάτων, ἐπαναστροφαῖς τῶν ῥευμάτων.

1.779 Βράσσηται· ζέῃ, ἀναβράσσει, εἰς ὕψος κινῆται, συγκινηθῇ, ἀναφυσωθῇ, ἀναταραχθῇ, βράσῃ, ἀναζέσῃ· ἰστέον ὅτι βράσσηται ταῖς δίναις. πάμφυρτος· παντοδαπὸς, ἐκ παντὸς εἴδους, συρφετώδης, σύμμικτος· συρφετὸς πολὺ τῶν φρυγάνων καὶ χόρτων πλῆθος· πάμφυρτος ἐκ τοῦ ἀνέμου ἀφυσγετός ἐστιν. πάμφυρτος ἢ συρφετὸς καὶ πλῆθος βρύων συμμεμιγμένων, ἢ πάμφυρτος ὁ ἔχων πολὺ φρυγάνων ἢ χόρτων πλῆθος, ὅταν ἐκ τοῦ ἀνέμου ἡ θάλασσα βράσσῃ, τὸ δὲ βράσσηται· ὅταν ἐκ τοῦ ἀνέμου συγκυκηθεῖσα καὶ ταραχθεῖσα βράσσῃ, ἐκ τῆς κάτωθεν ὑφισταμένης ἰλύος σηπομένης φύει πάντας ὁμοίως σκώληξι, τὸ δὲ βράσσηται ἀντὶ τοῦ ἀναδίδοται καὶ ὁ ἐκ τῆς ἀνέμου πνοῆς ἐκ παντὸς εἴδους ἀναδιδόμενος ῥύπος ἀκαθαρσίας. ἀφυσγετός· συρφετὸς, ῥῦπος, καὶ ἰλύς. ἐξ ἀνέμοιο· ἐκ τῆς τοῦ ἀνέμου πνοῆς.

1.780 Σπερχομένου· σφοδρῶς φυσῶντος, σφοδρῶς ἐπειγομένου, φυσῶντος, ἐπείγοντος. ἰοῦσα· ἐρχομένη, ἐλθοῦσα.

1.781 Εὐρώεσσα· ἰλυώδης, σκωληκώδης, σηπτικὴ, ἀφανὴς, ἡ συντόνη. τὴν εἰς πλάτος ἐκκεχυμένην λέγει, ἢ τὴν γεννητικὴν σκωλήκων, ὡς σηπεδενώδη ἀπὸ τοῦ εὐρὼς ὁ σκώληξ, ἢ τὴν ζοφερὰν καὶ μέλαιναν ἀπὸ τοῦ ἀερώεσσαν καὶ εὐρώεσσαν· καὶ ὁ ποιητὴς·
δόμον ἄδου εὐρώεντα.
ταθείσης· ἐπιγενομένης, ἐκταθείσης, τεθείσης, γινομένης.

1.782 Ἐξαυτῆς· παραυτίκα. ἐξ αὐτῆς· τῆς γαλήνης. ἄσπετα· πολλά. φύρματα· ῥύποι, κόπρια, συρφετοί.

1.783 Πύθεται· σήπεται. ἐκ δέ· ἐκ τῶν φυρμάτων δὲ τούτων, ἐκ τούτων τῶν φυρμάτων. ἐκ δ’ ἐκείνης· γράφεται ἐν δέ. χέονται· φύονται· γράφεται ἐκφύονται. ἀθέσφατοι· πολλαὶ, ἀφύαι, ἄρρητοι, ἐγγραύλεις. ἴκελαι·

ὅμοιαι. εὐλαῖς· σκώληξι, βδέλλαις· ὅτι ἐκ τοῦ ἀνέμου συγκινουμένης τῆς θαλάσσης, κάτωθεν ἡ ἰλὺς σημομένη ποιεῖ αὐτὰς, καὶ ἐξ αὐτῆς τῆς σήψεως ἐκφύονται, ὅμοιαι σκώληξιν αἴτινες ἀφύαι λέγονται.

1.784 Ἀκιδνότερον· ἀσθενέστερον, πυκνότερον. Γένυς οἱονεὶ κένυς ἡ κενὴ οὖσα ὀστῶν· κεντήριον ὁ ἑκατόνταρχος· κέντε γὰρ παρὰ Ῥωμαίοις τὰ ρ′.

1.785 Δειλαίης· ἀσθενοῦς, ἀθλίας. ἀφύης· ἐγγραύλης.

1.786 Δαίς· τροφὴ, εὐωχία, βρῶσις. ἀγαθή· εὔκολος. περιλιχμάζουσιν· περιλείχουσι, λείχουσιν.

1.787 Βορή. τροφὴ, ζωή. βιότοιο· ζωῆς, χάριν ζωῆς.

1.788 Ἀολλήδην· ὁμοῦ, πᾶσαι. ἐφέπουσιν· ἀλλήλαις, διέρχονται, βαδίζουσιν, ἐπακολουθοῦσιν, καλύπτουσιν.

1.789 Νύ που· περισσά. πέτρην· φωλεάν. ἀμφίσκιον· ἔχουσαν, τὴν ἀμφοτέρωθεν σκιάσματα ἔχουσαν.

1.790 Διζόμεναι· ψηλαφῶσαι, ἐρευνῶσαι. κευθμῶνας· τοὺς ἐνδοτάτω τόπους, τοὺς βαθυτάτους τόπους, φωλεάς. ἀποβρυχίην· βαθυτάτην, βαθεῖαν, κρύφιον. ἀλεωρήν· καταφυγὴν, σκέπην, ἔκκλισιν.

1.791 Γλαυκή· λευκὴ, ἡ καταπληκτική.

1.792 Ὡς δ’· παραβολὴ, παράδειγμα. εὐρύπεδον· πλατεῖαν, καὶ ἐξηπλωμένην, πλατύ. σκιάσει· σκεπάσει. νιφάδεσσιν· χιόνι, χιόσι, χιόνεσσιν. ἀλωήν· ἀλώια, ἄλωνα, τοποθεσίαν.

1.793 Ἑσπερίου ζεφύροιο· τοῦ δυτικοῦ ζεφύρου, δυσικοῦ ἀνέμου, ἤως ὁ ζέφυρος. Ζέφυρος ὁ οὖρος τοῦ ζόφου, ἤως τῆς δύσεως, λέγεται καὶ ὁ Βορρᾶς ὁ φέρων ζωὴν καὶ ἄνεμος. θοὸν μένος· ἡ ταχεῖα δύναμις. θοόν· ὀξὺ, ταχύ. μένος· δύναμις. οὐδέ τι· οὐδαμῶς. γαίης· τὸ πρόσωπον δῆλον. οὐδέ τι γαίης· τοῦ δυτικοῦ ζεφύρου ἡ ταχεῖα δύναμις οὐδὲ τῆς γῆς φαίνεσθαι τὴν ὄψιν ποιεῖ· κεκάλυπται γὰρ ταῖς νιφάσιν ταῖς λεπτοτάταις.

1.794 Κυανέης· μελαίνης. ὑποφαίνεται· δεικνύεται. ἄρα· γράφεται ἅμα.

1.795 Ἀργενναῖς· λευκαῖς. ἐπασσυτέραις· πυκναῖς, πυκνοτέραις, ὑπαλλήλοις, συνεχέσιν, ἐπαλλήλοις.

1.796 Ἀπειρεσίῃσι περιπληθὴς ἀγέλῃσι· ἀπείραις ἀγέλαις πεπληρωμένη. ἀπειρεσίῃσιν· πολλαῖς, ταῖς πολλαῖς ἀγέλαις τῶν ἀφυῶν, ἀπείραις ἀγέλαις τῶν ἀφυῶν, ἢ ἀπειρεσίῃσι περιπληθὴς ἀγέλῃσι ταῖς τῶν ἰχθύων, ἐπειδὴ αὐτὰς ἀγρεύουσι πάντες καὶ ἐσθίουσιν ὡς ἀσθενεῖς. περιπληθής· πληρουμένη, στενοχωρουμένη, γεγεμισμένη, πεπληρωμένη, ταῖς ἀπείροις ἀγέλαις τῶν ἀφυῶν πεπληρωμένη ὑπάρχουσα.

1.797 Φαίνεται· δείκνυται. ἀργήεσσα· λευκή. ἀλωή· ἄτοπος, ἤως ἡ θάλασσα καὶ χώρα καὶ τοποθεσία, εἰς ἣν διάγουσιν αἱ ἐγγραύλεις· ἀλωὴ σημαίνει τὸν κῆπον, καὶ τὸν ὑπάμπελον τόπον, καὶ τὴν ἅλωνα, καὶ τὸν ἁπλοῦν τόπον.